

Ἦ ῥᾳ κλέος πατρῖης τυπτεῖς γε πέλης Ἱεράρχα
Ἡρακλέος πτόλιος θῶκον ἔχων ἱερόν·
Ἦ ῥᾳ κλύης τεκέων φάος ἀτιόντων σέο τάϊχος
Ἡρακλῆης νῦν, πάμμεγα δῦχος ἐών·



Χάρις θεῷ νῦν τῷ γένει φερωνύμως
Γίνῃ, Ἰωάννῃ σὺ τῇ δὲ τῇ βίβλῳ·
Ἣν ἀρχιδύτῃ προσφέρεις σεβασμίῳ
Τῷ Ἡρακλείας ἐκ λέρου Ἰγνατίῳ.

ΝΕΑ ΟΔΗΓΟΣ

Ἢ ΕΓΧΕΙΡΙΔΙΟΝ

Περὶ Κλίσεως, Ὀρθογραφίας, καὶ Συντάξεως τῶν Ὀκτὼ τοῦ Λόγου Μερῶν.

Συλλεγὲν ἐκ διαφόρων ἐγκρίτων Γραμματικῶν, σαφῶς, συντόμως, καὶ ἀνελλειπῶς, ὡς οἷόν τε.

ΠΑΡΑ ΙΩΑΝΝΟΥ ΛΕΟΝΤΟΠΟΥΛΟΥ
ΤΟΥ ΕΚ ΜΥΡΙΟΦΥΤΟΥ ΤΩΝ ΓΑΝΟΧΩΡΩΝ

ΜΕΡΟΣ ΠΡΩΤΟΝ.

ΙΑΜΒΙΚΟΝ

Σοφὴ Μέλισσα ἀνθέων ὧν ἂν θέλῃ·
Ἀεὶ συνάγει κηρίον τε καὶ μέλι·

Ἐν Κωνσταντινουπόλει· Ἐν τῇ Τυπογραφίᾳ Ἰσὰκ ντέ Κάστρο.
Ἐν Ἔτει 1828 ᾳωκή.

2124
1206

Ἦ ῥα κλέος πατρὶς τὸ τεῆς γε πέλεις Ἱεράρχα,
ἡ ῥα κλέος ποτόλιος θῶκον ἔχων ἱερόν·
Ἦ ῥα κλύεις τεκέων φάος αἰτεύντων σέο τεύχους,
ἡ ῥα κλείης νῦν πάμμεγα εὖχος ἑών·

Ν· Τοῦ Λογάδου·

Α· Γείνατό μ' Ἰωάννης κλεινὸς γόνος ἐκ Γανοχώρων·
σπάργανα δ' εἰλίσσει ἀμφίμε λευκότατα·
Ἀλλ' ὅμα ἀμφαδίην φάος ἔκτυπον ἦρχον ἰδέσθαι·
αὐτὰρ ὁ, φεῦ, λείπει Ἠελίοιο φάος·
Β· Καὶ νυ ῥα κείμαι, ἄποτμος, οἴ οἴ, ζοφεροῖσι μελάθροις·
ἀλλὰ τέκος φίλιον, μὴ μινύριζε σύ γε·
Ὄψεαι οὖ διὰ παιδὸς ἑῆος τ' ὄψεαι ἦπου·
φοιβαίνει δὲ τόσοι Νικόλεως Λογάδης·

Αἱ παροῦσαι Γραμματικαὶ πωλοῦνται παρὰ τῷ Κωνσταντίνῳ Ἀγκελάκου, εἰς Τζαρδάκι.

ΤΩ̃ Πανιερωτάτῳ καὶ Θεοπροβλήτῳ Μητροπολίτῃ ἁγίῳ Ἡρακλείας, προέδρῳ τῶν ὑπερτίμων, καὶ ἐξάρχῳ πάσης Θρᾴκης καὶ Μακεδονίας, Κυρίῳ Κυρίῳ Ἰγνατίῳ τῷ Πανσεβάστῳ ἁγίῳ Γεροντι·

Ἡ μὲν ἐμὴ μήτηρ καὶ τιθηνὸς, ἡ τοῦ ἀειμνήστου μοι λέγω, πατρὸς καὶ διδασκάλου Ματθαίου ἐκείνου Γραμματικὴ, νεᾶνις οὖσά πωτε καὶ τῶν πατρῴων αὐτῆς οἴκων προελθεῖν ἀναγκαζομένη, κηδεστὴ καὶ πανταχάτῃ ἐχρήσατο, τῷ πολιτικῇ δόξῃ κεκοσμημένῳ νεανίᾳ, καὶ τῇ Μουρουζιδείῳ εὐγενείᾳ λαμπρυνομένῳ. ἐγὼ δὲ, παρ' ἐκείνης μὲν τεχθεῖσά τε καὶ τραφεῖσα, εἰς ὥραν δὲ νεάνιδος γενομένη, καὶ τῶν πατρικῶν μοι οἴκων προελθεῖν ἀναγκαζομένη, ἵνα τῇ συντόμῳ ὁδηγίᾳ πολλῶν ἐπιτύχω τῶν ἐραστῶν, τίνι ἄλλῳ μᾶλλον, ἢ σοι τῷ Ἱερᾷ κεκοσμημένῳ, καὶ οὐ νεανικῇ ἡλικίᾳ (κατ' ἐκεῖνον) σφριγῶντι, ἀλλ' ἱεροπρεπεῖ καὶ σεβασμίῳ Γέροντι, εἴς τε νεάνιδος προστασίαν πάνυ προσήκοντι, καὶ ἅμα ψυχικῇ εὐγενείᾳ, καὶ ἐκκλησιαστικῇ δόξῃ λαμπρυνομένῳ, χρήσωμαι παραστάτῃ καὶ κηδεστῇ;

Πολλά με τὰ παρακαλοῦντα, πολλά, ὦ Πανσέβαστέ μοι, πρὸς τὴν σὴν ἐμαυτὴν ἀναθεῖναι ἀντίληψιν, καὶ πολλαὶ ἅμα, καὶ πολυειδεῖς αἱ μεταξὺ ἐμοῦ τε, καὶ τῆς σῆς σεβασμιότητος λογικαί τε καὶ πνευματικαὶ σχέσεις· τό, τε γὰρ ἐξ ἑνὸς ἐμέ τε τὴν νεάνιδα ἐγγραμμάτως νῦν συνταχθεῖσαν, καὶ σὲ ἐν τῇ παιδικῇ ἡλικίᾳ διὰ φωνῆς μαθητευθέντα, λογικοῦ γενέσθαι πατρὸς, (τοῦ συνυπογραφομένου) καὶ συναυξηθῆναι ἡμᾶς ἀμφοτέρους, καὶ συντραφῆναι, ἀδελφοὺς γνησίους εἰκότως ποιεῖ, καὶ τὴν ἐκ τῆς νεότητος ἀφαιρεῖ μου αἰδώ τε καὶ συστολὴν· τό τε ὑπ' ἐμὲ διὰ φωνῆς μόνον τὸ πάλαι διδάσκουσαν τραφῆναί σε λογικῶς, καὶ τὸ τῆς παιδείας γάλα ἐκ τῶν ἐμῶν σε θηλάσαι τότε μαστῶν,

τὴν

τὴν ὡς μητρὸς πρὸς σὲ καὶ τροφοῦ δικαίως ἀπονέμει μοι σχέσιν· τό, τε παρὰ τῆς ἱερᾶς Ἐκκλησίας δοθέν σοι ἤδη ἐπὶ τὴν ἐμὴν ἐνεγκαμένην ποιμαντικόν τε καὶ κυριαρχικὸν πνευματικήν σου πάντως θυγατέρα, καὶ σὸν ὅλως βλάστημα, ἐμαυτὴν ἀναπείθει γνωρίζειν.

Ὅθεν καὶ παντὶ λόγῳ δικαίου, σοὶ μόνῳ, καὶ οὐκ ἄλλῳ, ἐμαυτήν τε, καὶ τὸν ἐμαυτῆς καρπὸν, ὡς ἐν τῇ μάνδρᾳ αὐτῆς φυέντα, κατεπείγει ἀφοσιώσασθαι· οὐδὲ γὰρ ἄλλῳ μᾶλλον τὸ ἐκ τῆς ποίμνης ἀμελγόμενον, ὁ Ἀποστολικὸς ἀπονέμει λόγος, εἰμὴ τῷ τῆς αὐτῆς ποίμνης προστάτῃ καὶ ἀρχηγῷ·

Ἐκτὸς δὲ τούτου τοῦ ἐντρίτου σχοινίου, καὶ τριπλόκου δεσμοῦ, τό, τε πρᾶον, καὶ εὔμενὲς, καὶ πρὸς πάντας εὐπρόσιτον, καὶ πολυειδὲς εὐεργετικόν σου, (οὗ τὰ εἴδη ἐπιλείψει με ὁ χάρτης διηγούμενον.) ὑπὲρ δὲ πάντα τὸ πρὸς τὰ ἀντιπνεύσαντά σοι παιδισθὲν, φθόνῳ τοῦ μισοκάλου, θεινὰ, (οἷς ἀντιστὰς σὺ γενναίως, καὶ ἀθλητικῶς ἀγωνισάμενος, ὡς Ἱερὸν ἐκομίσω βραβεῖον, τὸν Ἱερὸν τοῦτον Θρόνον παρὰ Θεοῦ, τοῦ κατὰ τὸν κατὰ σὲ πωλύτλαν Ἰὼβ εὐλογήσαντός σου τὰ ἔσχατα μᾶλλον, (νεμέσεως δ' ἀπίοι βέλος) ἢπερ τὰ ἔμπροσθεν) Ἡρωϊκόν σου φρόνημα, καὶ Γιγαντιαῖον, καὶ Ἡράκλειον ἀληθῶς ἀγώνισμα, καὶ κατὰ τῆς νοουμένης ἐκείνης ὕδρας, τῆς θεινὸν μὲν ἐν ἀγριωπῷ τῆς ἀμαθείας παραβλεπούσης, θεινότερον δὲ τῇ Ἰοβόλῳ αὐτῆς γλώττῃ κατακεντούσης, καὶ τὸ κατ' αὐτῆς νικηφόρον σου πάλαισμα, ταῦτα πάντα, φημὶ, καὶ ἄλλα μυρία ψυχῆς πλεονεκτήματα, τοὺς μὲν λοιποὺς εἰς τὸ ἁπλῶς σε ἐπαινεῖν διεγείρουσι, καὶ μακαρίζειν, τὰ τοῦ ποιητοῦ ἐπιφωνοῦντας.

„ Ὄλβιος ὅς σ' ἐφύτευσε, καὶ ὀλβία ἥ τέκε μήτηρ,
„ Γαστὴρ θ' ἥσε λόχευσε μακαρτάτη.

ἐμὲ δὲ καὶ εἰς τοὺς σοὺς Ἱεροὺς κόλπους καταναγκάζει προσδραμεῖν καὶ ἐπὶ τῇ σῇ ἐναβρύνεσθαι κυριαρχικῇ προστασίᾳ·

Δέξαι τοίνυν, Σεβασμιώτατε, τὴν μὲν ἀπέριττον ἐμὲ, καὶ εὔζωνον νεάνιθα, καλλει μὲν κομμωτικῷ, καὶ τῇ πρὸς τὸ θεαθῆναι τοῖς ἀνθρώποις δεινότητι καὶ γωμυλίᾳ μηδόλως καθωραϊζομένην, ἀνελλειπῆ δὲ εὐθηγίαν, καὶ ἄπονον ὠφέλειαν τοῖς ἐμοῖς ἐρασταῖς ἐπαγγελλομένην,

καὶ

καὶ τῷ ἀξιοσεβάστῳ σου χαρακτῆρι πρὸς τοὺς ἀπαντῶντάς με συνιστῶν (ἵνα μὴ τῆς νεότητός μου καταφρονήσαντες, τὴν ἐξ ἐμοῦ ἀπώσωνται ὠφέλειαν) ἀδεῶς με ποίησον περιοδεύειν, καὶ τὰ ἐμαυτῆς ἀπαγγέλλειν·

Τὸν δὲ ἡμέτερον κοινὸν πατέρα, τὸν πρὸς τὴν σὴν Σεβασμιότητά με ἀφοσιοῦντα, καὶ συνυπογραφόμενον, τὸν ἤδη γήρατι, καὶ τοῖς τῆς πονηρᾶς τύχης κύμασι προσπαλαίοντα, καὶ οὐ μικρὸν ἐκλελοιπότα καὶ ἀπαυθήσαντα, καὶ τὴν ἐμὴν ὀρφανίαν ὑποτοπάζοντα, καὶ κατορρωδοῦντα, περίθαλψον καὶ γηροκόμησον τῇ Δεσποτικῇ σου ἐλευθεριότητι, Εὖτ' ἂν εἰσοράᾳ ἠελίοιο φάος.

Ἡ τῆς ὑμετέρας Σεβασμιότητος

Ἀδελφὴ ὁμοῦ, καὶ Μήτηρ, καὶ Θυγάτηρ·

Ἡ καλουμένη Νέα Ὁδηγὸς,
Καὶ ὁ κοινὸς ἡμῶν Πατὴρ,
Ἰωάννης Λεοντόπουλος
Ὁ ἐκ Μυριοφύτου·

ΤΟΙΣ ΕΝΤΕΥΞΟΜΕΝΟΙΣ.

Ου' καλλν, ἀλλὰ καὶ λίαν ἐπίτιμον, ὦ φίλτατε Ἀναγνῶστα, τὸ τῶν φιλοσκωμμόνων ἔθος τοντί· οἵτινες ἐπειδὰν ἴδωσι νέαν Γραμματικὴν, πρὶν ἢ ἐγκύψωσι τῷ συγγράμματι, μυκτηρίζουσι τὸν συγγράψαντα, καὶ εἰρωνικῶς ἐπιφωνοῦσι· πάλιν νέα Γραμματική; ὢ πλῆθος Γραμματικῶν! ἡμεῖς ἐκ τῶν πολλῶν Γραμματικῶν ἀπολώλαμεν· ὅθεν καὶ σπυρὸς ἄξιαι αἱ πολλαί· οὐκ ἀπόλωλας, φίλε, ἐκ τῶν πολλῶν, οὐκ, οὐδὲ τῷ Ἡφαίστῳ, ὡς λέγεις, παραδοτέαι, ἀλλ' ἐξ αὐτῶν μάλιστα τῶν πολλῶν εὐχερεστέραν σοι γέγονεν ἡ πρὸς τὸ σκοπούμενόν σοι ὁδός, καὶ εὐμαρέστερον νῦν βαδίζεις πρὸς ἣν ἂν θέλῃς· οὐ γὰρ περιωρισμένος τυγχάνεις ἤδη ἐν μόνῃ τῇ γριφώδει τοῦ Θεοδώρου, ὡς πάλαι, ἢ τῇ τοῦ Νεφύτου ἐκείνου τῇ ἄχθος οὔσῃ ἀρούρης διὰ τὸν ὄγκον, καὶ ὀκλίσαι θεμένῃ διὰ τὸ βάθος κολυμβητοῦ· ἀλλὰ τῶν μεταγενεστέρων τούτων Συγγραφέων, σὺν πολλῷ τῷ πόνῳ ἐξ αὐτῶν, ὡς ἐξ ἀχανοῦς τοῦ βάθους τοὺς μαργαρίτας ἀναλεξαμένων, καὶ παρὰ τὴν ἠϊόνα σοι τούτους διὰ σχολίων καὶ σημειώσεων προσαγαγόντων, ἔξεστί σοι ἀβρόχοις ποσὶν ἤδη τοὺς μαργαρίτας τούτους λαβεῖν·

Χάρις τοίνυν παρ' ἡμῶν ὀφείλεται τοῖς προπεπονηκόσι, καὶ τὰς πολλὰς ταύτας συγγραψαμένοις Γραμματικὰς, καὶ οὐ μομφὴ καὶ χλεύη, ὡς παρὰ σοῦ τοῦ φιλοσκώμμονος, καὶ τοῦ, ὡς αἱ μυῖαι, ἐπίτινι σεσηπότι μέρει τῆς καλῆς ὀπώρας (εἴπου τι εὕροις σεσηπός) ἐφιζάνοντος· ἀξιέπαινοι γὰρ πάντες οἱ συγγραψάμενοι καὶ τὰς πλατυτέρας, καὶ τὰς ἐπιτομωτέρας, ὡς ἑκάστης τὸ ἴδιον ἐχούσης καλόν.

Ἐξ ὧν κἀγὼ ἐν τῷ παρόντι ἐκλεκτικῶς, ἀλλ' οὐ προληπτικῶς ἐρανισάμενος τὰ δόξαντά μοι ἀναγκαιότερα, καὶ οὕτως εὐμαρῶς διατάξας, ὥστε καὶ αὐτοδιδάκτως εἰσδῦναί τινα, ἐν φράσει μὲν ταπεινῇ, καὶ ἐν λέξει ἀφελεῖ (ὡς παῖδας, καὶ οὐκ ἄνδρας χειραγωγήσων) νοῒ δὲ ἀληθεῖ καὶ παραδείγμασι σαρεστάτοις, ἀλλ' οὐ ποιητικοῖς, τῆς μὲν

μὲν τὸ ἐκτεταμένον καὶ ὀγκώδες ἀποφυγών, ὡς δυσαντίληπτον, τῆς δὲ τὸ πάνυ ἐπίτομον, ὡς ἐλλειπέστερον, καὶ τῆς μὲν τὸ ὀγκώδες τῆς φράσεως ἐξομαλίσας, τῆς δὲ τὸν μεταφυσικὸν τρόπον, ὡς δυσξύνετον παιδαρίοις ἄκαιρον λογσάμενος, τὴν παροῦσαν Νέαν Ὀδηγὸν συνεθέμην, ἀπέριττον, εὔζωνον, αὐτεννόητον, σύντομον, καὶ τοῦ δέοντος ἀνελλειπῆ, ὡς ἐμοὶ δοκεῖ, μὴ τὸ τῶν πιθήκων πάσχοντι·

Καὶ ταύτην οὕτως ἐξυφάνας, οὐδ' οὕτως ἐθάρρησα τῇ ἐμαυτοῦ ἐπικρίσει, (δειναὶ γὰρ αἱ εὔνοιαι δεκάσαι τὰς ψήφους, τοῦτο δὴ τὸ παλαίφατον) ἀλλ' ὡς πρὸς λυθίαν λίθον, ταύτην ὑπαγαγών, τὴν κριτικωτάτην πολυμάθειαν τοῦ τε Πανιερωτάτου καὶ Σεβασμοῦ Γέροντος ἁγίου Κυζίκου Κυρίου Ματθαίου (οὗ ἀρείονα οὐκ ἂν εὕροις ἤδη, οὐ φυήν, οὔτ' ἄρ' φρένας, οὔτε τοι ἔργα) τοῦτε νῦν Σχολαρχοῦντος ἐν τῇ Πατριαρχικῇ Σχολῇ Ἱερολογιωτάτου Διδασκάλου Κὺρ Σαμουὴλ, καὶ ἄλλων ἐγκρίτων (ἐπὶ γὰρ δύο ἢ τριῶν μαρτύρων συνίσταται πᾶν ῥῆμά φησι,) καὶ ἐξ αὐτῶν τὴν λευκὴν κομισάμενος ψῆφον, οὕτω τοῖς περιγρίοις τοῦ τύπου ταύτην ἐπέθωκα·

Εἰ μὲν οὖν κατὰ σκοπὸν (ὡς εὔχομαι) ἔβαλον, (ὅπερ ἐστὶν ἡ ἀσφαλὴς τῶν παίδων ὁδηγία, καὶ εὐμαρὴς πρὸς τὸ ποθούμενον πρόοδος) χάρις τῷ Θεῷ τῷ δυναμένῳ καὶ ἐκ τῶν λίθων τούτων (οἷα ἐστὶν ἡ ἐμὴ λιθώδης διανοια) ἀναστῆσαι σπέρμα τῷ Ἀβραάμ·

Εἰσ' οὗ, ποία ἡ σὴ ζημία, ὦ φιλοσκῶμμον; ποίαν σὺ οὐσίαν διὰ τοῦτο ἀπώλεσας; οὐδεμίαν ποτέ· αὐτὸς ἐγὼ ἄϋπνος διετέλεσα, διανοίχα κατὰ θυμὸν μερμηρίζων πρὸς τὴν ἐκλογήν τε καὶ συλλογὴν, σοῦ ἑκατὸν κειμένου καὶ ῥέγχοντος· αὐτὸς ἐγὼ πάλλ' ἐμόγησα, γραφῶν καὶ ἀντιγράφων ἐν γήρατος οὐδῷ, σοῦ κατὰ κηφῆνας ἴσως ἀργοῦντος· ἄλλος δέ τις φιλογενὴς ἀνὴρ καὶ ἐλευθέριος· Τίς δ' οὗτος; Ἀνὴρ ἡΰς τε μέγαστε, ἔξαρχος δικασπόλων Ἀρχιερήων, ᾧ λαοί τ' ἐπιτετραφαται, καὶ τόσσα μέμηλε· Ποιμάντορι ὄντι λαῶν, πρὸς ὃν καὶ ἡ ἀφοσίωσις, ἐξέδοτο εἰς τὸ τύπου φῶς τὸ ἐμὸν τοῦτο πόνημα, σοῦ μηδ' ὀβολὸν δαπανήσαντος·

Τι οὖν ἐμοὶ καὶ σοὶ, ἄνθρωπε τοῦ Θεοῦ; τί τοὺς ἀϊλοῦντας ἐκνευροῖς διὰ τῆς λοιδόρου σου γλώττης;

Τοῦ-

Τοῦτό μοι, φθε, τὸ κατὰ δύναμιν. Αὕτη ἐστὶ καὶ ἡ ἐμὴ προσφορὰ ἡ πρὸς τὸν πλησίον· ἣν εὐμενῶς σοι προσθεκτέον, εἰς τὴν προαίρεσιν μᾶλλον τοῦ προσφέροντος ἀφορῶντι, καὶ μὴ πρὸς τὸ βαρύτιμον τοῦ προσφερομένου· εἰ γὰρ ὁ ἀνενδεὴς καὶ παντέλειος δέχεται καὶ τὴν Παύλου φυτείαν, ὡς Παύλου, καὶ τὴν Ἀπολλὼ ἀρδείαν, ὡς Ἀπολλώ, καὶ τῆς χήρας τὰ δύο λεπτὰ, ὡς πλείω πάντων βαλούσης, πολλῷ μᾶλλον σοὶ τῷ ἀτελεῖ τε καὶ ἐλλειπεῖ, ὡς χθονὸς καρπὸν ἔδοντι, προσθεκτέον τὸ ἐμὸν τοῦτο εὐτελές τι διώβολον· εἰμὲν οὖν βούλει πόνον τ' ἐχέμεν καὶ ὀίζὺν, καὶ ὑψηλοῦ τυγχάνων νοὸς, ὑψιπέτης βούλει γενέσθαι, τῇ μὲν τῶν Γραμματικῶν συῤῥητορεύων, τῇ δὲ συμμεταφυσιολογῶν περὶ τὰς τοῦ νοὸς ἐνεργείας, ἐν κεραμίᾳ τὴν πίθον διδασκόμενος καὶ διδάσκων, (τὸ δὴ λεγόμενον) ἔχου ἀπρὶξ τῶν ἄλλων, καὶ ὁ κωλύων οὐδείς· εἰδ' ἁπτῆνι ἔτι τυγχάνοντι, δεῖσοι ὁδηγοῦ καινοῦ, καὶ σαφεστέρου τρόπου καινοῦ, τὸ βαλάντιον ἀνοίξας, ἀργύριον ἀρίθμει, (καὶ τοῦτο ἔλαττον ἢ πρὸς ἄλλας) καὶ λάμβανε τὴν παροῦσαν Νέαν Ὁδηγὸν, καὶ ταύτῃ σύνεσο νύκτωρ καὶ μεθ' ἡμέραν, εἴτι καὶ ἐξ αὐτῆς ὄφελος, ἀσκνως καρπούμενος· εἰδ' οὖν, μὴ σκῶπτε, βάδιζε ἣν ἂν θέλῃς (πολλαὶ γὰρ καὶ ἄλλαι αἱ πρὸς τὸ σκοπούμενον ἄγουσαι) καὶ ἐῤῥωσο καθ' ἑκάτερον, συγγινώσκων μοι δικαίως, καὶ εἴτι ὡς ἀνθρώπῳ, ἡμάρτηται ἐν αὐτῇ· ὡς γὰρ οὐκ ἔστιν ὁπώρα ἐν βίῳ, μὴ καὶ πυρῆνας ἔχουσα καὶ κέλυφη, καὶ τοῖς πᾶσιν ὑπεραρέσκουσα, οὕτως οὐδὲ συγγραφὴ ἀνθρωπίνου νοὸς (εἰμὴ ἐξ ἀποκαλύψεως) ἐν πᾶσι καὶ παρὰ τοις πᾶσιν ἀμεμπτός τε καὶ ἀνεπίληπτος, καὶ ἀρέσκουσα.

Ὁ Συγγραφεύς.

ΝΕΑΣ ΟΔΗΓΟΥ

ΜΕΡΟΣ ΠΡΩΤΟΝ

Περὶ Κλίσεως καὶ Ὀρθογραφίας τῶν ὀκτὼ τοῦ λόγου μερῶν.

1 Γράμματα εἰσὶν εἴκοσι τέσσαρα. α. β. γ. δ. κτλ.

Χωρίζονται αὐτὰ εἰς φωνήεντα, καὶ εἰς σύμφωνα. Φωνήεντα μὲν ἑπτά· α. ε. η. ι. ο. υ. ω. ὅτι μόνα ποιοῦσι φωνήν. Ἐκ τῶν φωνηέντων μακρὰ μὲν δύο. η. καὶ ω.

Βραχέα δὲ δύο. ε. καὶ ο. Δίχρονα δὲ τρία. α. ι. υ. ποτὲ μὲν ὡς μακρὰ, ποτὲ δὲ ὡς βραχέα.

Ἀπὸ τῶν φωνηέντων γίνονται ἓξ δίφθογγοι κύριαι. αι. αυ. (καὶ ηυ.) ει. ευ. οι. υ. καὶ τέσσαρες καταχρηστικαί. ᾳ. ῃ. ῳ. ῃ.

Σύμφωνά εἰσι τὰ ἄλλα δέκα ἑπτά. β. γ. δ. ζ. θ. κ. λ. μ. ν. ξ. π. ῥ. σ. τ. φ. χ. ψ.

Ἐκ τῶν συμφώνων διπλᾶ λέγονται τρία. ζ. ξ. ψ. Ἀμετάβολα τέσσαρα. λ. μ. ν. ῥ. ψιλὰ τρία. κ. π. τ. Δασέα τρία. θ. φ. χ. Μέσα δὲ τὰ λοιπὰ τρία. β. γ. δ. Τὸ δὲ σ λέγεται μοναδικόν.

2 Ἐκ τῶν γραμμάτων τούτων γίνονται αἱ συλλαβαί. Πέ-- τρος

Ἐκ τῶν συλλαβῶν γίνονται αἱ λέξεις. ὁ Πέτρος. αἱ δὲ λέξεις εἰσὶ καὶ μονοσύλλαβοι. γῆ. πῦρ. εἰσὶ καὶ πολυσύλλαβοι. καλὸς. ἄνθρωπος. φιλάνθρωπος.

Ἡ ὑστερινὴ συλλαβὴ πάσης λέξεως ὀνομάζεται . . Λήγουσα.

Ἡ δευτέρα ἡ πρὶν τῆς ὑστερινῆς ὀνομάζεται . . Παραλήγουσα.

Ἡ τρίτη ἡ πρὶν τῆς παραληγούσης ὀνομάζεται . Προπαραλήγουσα.

Ψιλάνθρωπος, τὸ μὲν πος λήγουσα. τὸ δὲ θρω, παραλήγουσα. τὸ δὲ αν. προπαραλήγουσα. περισσότερον ἀπὸ τὰς τρεῖς δὲν μετροῦμεν.

Καθαρὸν φωνῆεν λέγεται, ὅταν δὲν εἶναι ἐνωμένον μὲ σύμφωνον. μὴ καθαρὸν λέγεται, ὅταν ᾖναι ἐνωμένον.

3 Τόνος λέγεται ὁ κτύπος τῆς φωνῆς, ὅταν προφέρῃς τὴν λέξιν. Σημεῖα τοῦ τοιούτου κτύπου γράφονται ἐπάνω πάσης λέξεως. ἡ Ὀξεῖα΄. ἡ Βαρεῖα`, καὶ ἡ Περισπωμένη῀.

Ὅταν ὁ κτύπος γίνεται εἰς τὴν λήγουσαν συλλαβὴν τῆς λέξεως, τίθεται ὁ τόνος εἰς αὐτὴν, καὶ ἡ λέξις ὀνομάζεται ὀξύτονος. καλός

Ὅταν ὁ κτύπος ἀκούεται εἰς τὴν παραλήγουσαν, τίθεται ὁ τόνος εἰς αὐτὴν, καὶ ἡ λέξις ὀνομάζεται παροξύτονος καὶ βαρύτονος. λόγος. Πέτρος.

Ὅταν ὁ κτύπος ἀκούεται εἰς τὴν προπαραλήγουσαν, τίθεται ὁ τόνος εἰς αὐτὴν. καὶ ἡ λέξις ὀνομάζεται προπαροξύτονος καὶ βαρύτονος. δίκαιος.

Ὅταν ἡ λέξις ἔχῃ περισπωμένην εἰς τὴν λήγουσαν. λέγεται λέξις περισπωμένη. γῆ.

Ὅταν ἔχῃ αὐτὴν εἰς τὴν παραλήγουσαν λέγεται προπερισπωμένη καὶ βαρύτονος. σῶμα.

Ὅταν ἡ λέξις ἄρχεται ἀπὸ φωνήεντος, τίθεται ἐπάνω ἓν σημεῖον, τὸ ὁποῖον ὀνομάζεται Πνεῦμα. Σημεῖα δὲ Πνεύματος δύο. Δασεῖα΄. καὶ Ψιλὴ᾽.

4 Καθὼς ἐκ τῶν γραμμάτων γίνεται Συλλαβή. καὶ ἐκ τῶν συλλαβῶν γίνεται λέξις, οὕτω καὶ ἐκ τῶν λέξεων, γίνεται λόγος, περιέχων πολλὰς ἢ ὀλίγας λέξεις. ὁ διδασκαλος διδάσκει καλῶς, καὶ ἐπιμελῶς καθήμενος ἐν τῷ σχολείῳ αὐτοῦ.

5 Τὰ μέρη τοῦ λόγου εἰσὶν ὀκτώ. (ἤγουν ὅλαι αἱ λέξεις εἶναι ὀκτὼ λογιῶν) Ἄρθρον. Ὄνομα. Ῥῆμα. Μετοχὴ. Ἀντωνυμία. Πρόθεσις. Ἐπίῤῥημα. Σύνδεσμος.

6 Ὄνομα λέγεται ἡ λέξις ἐκείνη, μὲ τὴν ὁποίαν ὀνομάζομεν κάθε πρᾶγμα, καὶ φαινόμενον καὶ μὴ φαινόμενον. Παῦλος σοφὸς, Ἄγγελος ἀθάνατος. Μαρία Καλὴ. ψυχὴ ἄϋλος, σοφία γνῶσις πολλή. παιδίον

δίον φρόνιμον. μῆλον κόκκινον.

Τὰ ὀνόματα ἔχουσι γένος. ἀριθμὸν. σχῆμα. πτώσεις. καὶ κλίσιν.

Κάθε ὄνομα εἶναι ἢ ἀρσενικοῦ γένους. καὶ λαμβάνει ἔμπροσθεν τὸ ἄρθρον Ο. ὁ Παῦλος ὁ σοφός. ὁ οἶκος ὁ μέγας. ἢ θηλυκοῦ γένους, καὶ λαμβάνει τὸ ἄρθρον Η. ἡ Μαρία ἡ ἀγαθὴ. ἡ γλυκύτης ἡ πολλὴ. ἢ κοινοῦ, καὶ τότε λαμβάνει καὶ τὰ δύο ἄρθρα. ὁ παῖς. ἡ παῖς. ὁ ἀληθὴς. ἡ ἀληθὴς. ἢ οὐδετέρου γένους καὶ λαμβάνει τὸ ἄρθρον. Τὸ. τὸ παιδίον τὸ καλὸν. τὸ μῆλον τὸ κόκκινον.

Κάθε ὄνομα ἢ ἑνικοῦ ἀριθμοῦ ἐστι, καὶ σημαίνει ἓν πρᾶγμα. ὁ ἄνθρωπος. ἡ ἀηδὼν. τὸ μῆλον. ἢ πληθυντικοῦ. καὶ σημαίνει πολλὰ. οἱ ἄνθρωποι. τὰ μῆλα. ἢ δυϊκοῦ ἀριθμοῦ. καὶ σημαίνει δύο πράγματα. τὼ ἀνθρώπω. τὼ μήλω.

Ἡ ἁπλοῦ σχήματος. ἀγαθὸς. ξηρὸς. ἢ συνθέτου. πανάγαθος κατάξηρος.

Ἡ ὀνομαστικῆς πτώσεως. ἢ Γενικῆς. ἢ δοτικῆς. ἢ αἰτιατικῆς. ἡ Κλητικῆς (Πτῶσις δέ ἐστιν ἡ διαφορετικὴ μεταβολὴ τοῦ ὀνόματος εἰς τὴν λήγουσαν, ποτὲ δὲ καὶ εἰς τὴν παραλήγουσαν. ὁ κριτὴς. τοῦ κριτοῦ· τὸν κριτήν. ὁ γέρων τοῦ γέροντος (γνωρίζεται δὲ ἀπὸ τοὺς ἑξῆς τύπους τῶν Κλίσεων.) Ἡ ὀνομαστικὴ καὶ Κλητικὴ λέγονται ὀρθαί. αἱ ἄλλαι δὲ πλάγιαι.

7 Τὰ Ἄρθρα εἶναι κάποια μονοσύλλαβα μόρια, τὰ ὁποῖα ἐμβαίνουσιν ἔμπροσθεν τῶν ὀνομάτων, ὁ ἄνθρωπος, τὸν ἄνθρωπον, οἱ ἄνθρωποι, ἡ μαρία, τὸ μῆλον. Ἔχουσι δὲ καὶ αὐτὰ καθὼς καὶ τὰ ὀνόματα, Γένος, ἀριθμὸν, καὶ πτώσεις.

Ἄρθρα ἀρσενικά. ἑνικῶς.

Ἡ ὀνομαστικ. ὁ ἡ γεν. τοῦ, ἡ δοτ. τῷ, ἡ αἰτιατ. τὸν ἡ κλητ. ὦ

Πληθ. ἡ ὀνομ. οἱ, ἡ γεν. τῶν, ἡ δοτ. τοῖς· ἡ αἰτιατ. τοὺς. ἡ κλητ. ὦ (α)

Δυϊκῶς ἡ ὀνομαστ. καὶ αἰτιατ. τὼ· ἡ γεν. καὶ δοτ. τοῖν. ἡ κλητ. ὦ (β)

(α) Τὸ ὦ οὐκ ἔστιν ἄρθρον, ἀλλ᾽ ἐπίῤῥημα Κλητικὸν ψιλούμενον καὶ περισπώμενον.

(β) Τοῦ δυϊκοῦ ἀριθμοῦ ἡ μετάθεσις διὰ εὐκολίαν τῶν παίδων ἔγινε, καὶ ὅτι μεταγενεστέρων ἐξαγωγὴ ἀπὸ τοῦ πληθυντικοῦ (κατὰ Δανιὴλ.)

Ἄρ-

Ἄρθρα θηλυκὰ. ἑνικῶς.

Ἡ ὀνομαστ. ἡ. ἡ γεν. τῆς ἡ δοτ. τῇ ἡ αἰτιατ. τὴν, ἡ κλητ. ὦ
Πλ. αἱ ὀνομ. αἱ, ἡ γεν. τῶν, ἡ δοτ. ταῖς, ἡ αἰτιατ. τὰς. ἡ κλητ. ὦ
Δυϊκ. ἡ ὀνομ. καὶ αἰτιατ. τά. ἡ γεν. καὶ δοτ. ταῖν. ἡ κλητ. ὦ

Ἄρθρα οὐδέτερα, ἑνικῶς.

Τὸ. τοῦ. τῷ τό. ὦ. Πλ. τά. τῶν. τοῖς. τά. ὦ. (Δυϊκ. τώ. τοῖν. ὦ)

Ὀρθογραφία τοῦ Ἄρθρου.

8 Τὰ Ἄρθρα ὅσα ἄρχονται ἀπὸ φωνήεντος λαμβάνουσιν ἐπάνω δασεῖαν, οὐχὶ δὲ καὶ τόνον, Ὁ, Οἱ, Ἡ Αἱ.
Αἱ γενικαὶ καὶ δοτικαὶ τῶν ἄρθρων λαμβάνουσιν ἐπάνω περισπωμένην· ἡ δὲ δοτικὴ τοῦ ἑνικοῦ ἀριθμοῦ λαμβάνει καὶ ὑπογεγραμμένην, τοῦ τῷ, τῶν, τοῖς, τοῖν, τῆς, τῇ, ταῖς, ταῖν.
Αἱ αἰτιατικαὶ πᾶσαι τῶν ἄρθρων ὀξύνονται. ὁμοίως, καὶ αἱ ὀνομαστικαὶ τῶν οὐδετέρων, τὸν, τοὺς, τὴν, τὰς, τὸ, τὰ, καὶ δυϊκ. τὼ, τά. διὰ τὴν ἐνωμένην αἰτιατικήν.

Ἐπειδὴ περὶ Δασείας ἀνεφέραμεν. ἴξευρε ὅτι κάθε λέξις ὁποῦ ἀρχινᾷ ἀπὸ φωνῆεν, δέχεται ἡ δασεῖαν ῾. ἢ ψιλὴν᾽. δασύνονται δὲ τὰ ἑξῆς

Ἄβρα, ἁβρὸς, ἁγνὸς, ἁδρὸς, ἁζομαι, αἷμα, ἅδης.
αἱρῶ, ἁλίσκω, ἅλλομαι, ἅλυσις, ἁλῶ, ἅλις,
Ἁλίζω, Ἁλικαρνασὸς, ἅλς, ἅλις, ἁμαρτάνω.
ἅμαξα, ἅμιλλα, ἁμὶς, ἅπαξ, ἅμα, ἀνδάνω.
Ἅπτομαι, ἅπαν, ἁπαλὸν, ἁπλοῦν, ἁρπάζω, ἅρμα.
ἄρκυς, ἁρμὸς, αὖτη. ἁφὴ, ἄψος, ἀψιμαχία.
Ἑβραῖος, ἕδρα, ἑαυτοῦ, ἕδαφος, ἕζομ᾽, ἕδνη.
ἑβδομος, εἴργω, εἷς, εἱρμὸς, εἰλείω, εἱμαρμένη.
Εἰκὼν, ἑκατὸν, ἕκαστος, ἑκάτερος, Ἑκάβη.
ἑλίσσω, ἑλωρ, ἕλομαι, ἕλμινς, ἕλιξ, Ἑκάτη.

Ἑλένη, ἑλκέι, Ἕλληνας, ἕλος, ἕνεκα, ἕξω.
ἑξῆς, ἑορτὴ, ἕπεται, ἑρμηνεὺς, ἕρπω, ἕρδω.
Ἑρμῆς, ἕρκος, καὶ ἕρμαιον, ἑστήκω, καὶ ἑστέρα.
ἑστία τε, καὶ ἕτοιμος, ἕτερος, καὶ ἑτέρα.
Εὑρίσκω, εὖδω, καὶ ἑρθὸς, ἕξ, ἑπτὰ, καὶ ἡ ἕως.
ἕψω δὲ καὶ τὸ ἑωλον, ἐπίῤῥημα τὸ ἕως.
Ἧβη, ἡγοῦμαι, ἥκιστα, ἥκω, ἡδὺς, ἡνίκα.
ἥλιος, ἧλος, ἥμερος, ἦ. ἥλιξ, καὶ ἡνία.
Ἡμεῖς, Ἡρακλῆς, ἥμισυ, ἥσυχος, ἵρως, Ἥρα.
Ἡρώδης, ἧττων, Ἥραιστος, Ἡσίοδος, καὶ ἦπαρ.
Ἱδρὼς, ἱδρύει, Ἱερὸν, Ἱέραξ, ἵν᾽, ἱζάνω.
ἱμάσσω, ἱκετεύωτε, ἵεμαι, καὶ ἱκάνω.
Ἵωμαι, ἵμερος, ἱμὰς, ἱμάτιον, ἱμείρω.
ἵλεως, ἵππος, ἵπταμαι, ἵστημι, ἱστορίζω.
Ὅλμος, ὁδὸς, ὅλος, ὁμοῦ, ὅπου, ὅς, ὅπλον, ὅμως.
ὅρος, ὁρῶ, ὁλκὴ, ὁλκὰς, ὅσιος, ὅρκος, ὅρμος.
Ὅσος, ὁπόσος, ὅμοιος, ὅταν, ὁρίζω, οἷος.
ὅθεν, οὗτος, ὡράκιῶ, ὡς, ὧδε, ὥρα, ὅπως.
Τὰ δ᾽ ἀπὸ Ρ καὶ υ δασύνονται σὺν ἄρθροις.
τὰ δὲ μὴ σημειούμενα. ὧδε πάντα ψιλοῦνται.

---

9 Κλίσεις τῶν ὀνομάτων εἰσὶ τέσσαρες. αἱ τρεῖς ἔχουσιν ὀνόματα ἰσοσύλλαβα, τῶν ὁποίων ἡ ὀνομαστικὴ ἔχει ἴσας συλλαβὰς, με τὰς ἄλλας πτώσεις, κριτὴς, κριτοῦ, μοῦσα, μούσης, λόγος, λόγου.
Ἡ Τετάρτη κλίσις ἔχει ὀνόματα περιττοσύλλαβα, τῶν ὁποίων αἱ ἄλλαι πτώσεις ἔχουσι περισσοτέραν συλλαβὴν ἀπὸ τὴν ὀνομαστικήν.
Αἴας Αἴαντος. τρυγὼν, τρυγόνος. Βασιλεὺς, Βασιλέως. ἀληθὴς, ἀληθέος. βῆμα, βήματος.

10 Ἡ πρώτη Κλίσις ἔχει ὀνόματα ἀρσενικὰ, καὶ κοινὰ, τῶν ὁποίων αἱ λήγουσαι εἰς ὅλας τὰς πτώσεις, γράφονται ὁμοίως μὲ τοὺς παρόντας τύπους.

Ὀνομ.	Γεν.	Δοτ.	Αἰτιατ.	Κλητ.
Ὁ Ταμίας	τοῦ ταμίου (α)	τῷ ταμίᾳ	τὸν ταμίαν	ὦ ταμία
Πλ. Οἱ ταμίαι	τῶν ταμιῶν	τοῖς ταμίαις	τοὺς ταμίας	ὦ ταμίαι

Δυϊκ. ἡ ὀνομ. αἰτ. τὼ ταμία, γεν. δοτ. τοῖν ταμίαιν. κλητ. ὦ ταμίαι

Ὁ Ἀθρέας	τοῦ ἀνθρέου	τῷ ἀνθρέᾳ	τὸν ἀνθρέαν	ὦ ἀνθρέα
Ὁ Χρύσης	τοῦ χρύσου	τῷ χρύσῃ	τὸν χρύσην	ὦ χρύσῃ
Οἱ Χρῦσαι	τῶν χρυσῶν	τοῖς χρύσαις	τοὺς χρύσας	ὦ χρῦσαι

Δυϊκ. τὼ Χρύσα, τοῖν χρύσαιν. ὦ χρύσα.

Ὁ Δεσπότης, τοῦ δεσπότου, τῷ δεσπότῃ, τὸν δεσπότην, ὦ δέσποτα (β)
Οἱ Δεσπόται, τῶν δεσποτῶν, τοῖς δεσπόταις, τοὺς δεσπότας, ὦ δεσπόται
Δυϊκ. τὼ Δεσπότα, τοῖν δεσπόταιν, ὦ δέσποτα.

Ὁ Λη-

Ἡ δὲ Παραλήγουσα ὀρθογράφεται οὕτω. Τὰ εἰς.

11 ΕΑΣ. Ετης. τῶ ε. πλὴν Μιχαίας, καὶ τῶν παραγώγων, ἐκ τοῦ αἰτῶ, καὶ χαίτη, ἐπαίτης, κυανοχαίτης.

ΙΑΣ. τῶ ι. πλὴν Αἰνείας, Ἑρμείας. Λυγείας. τῇ ει. Περσύας, Βύας, καὶ μανδύας τῷ υ. καὶ πατραλοίας τῇ οι.

ΙΔΗΣ. ΙΣΗΣ. τῷ ι. πλὴν Καμβύσης, Χρύσης, καὶ τῶν ἐκ τοῦ μῆδος καὶ κλέος. Ἀρχιμήδης, Εὐκλείδης.

ΙΤΗΣ. τῷ ι. πλὴν Αἰγινήτης, Ἀήτης, Προφήτης, σφενδονήτης τῷ η καὶ βαλανείτης ὁρείτης. (ἐκ τοῦ ὄρους σύθετέρου) καὶ ὅσα ἐκ τοῦ ῥέω, βαθυῤῥείτης, τῇ ει. καὶ ὁδοίτης (ὁ ὁδηγὸς) καὶ συνορείτης (ἐκ τοῦ ὄρους ἀρσενικοῦ τῇ οι.)

ὅσα

(α) Μερικῶν ἡ Γεν. εὑρίσκεται, καὶ εἰς ου καὶ εἰς α. Πυθαγόρου, καὶ Πυθαγόρα, Πατραλοίου, καὶ Πατραλοία.

(β) Πάντα ὅσα λήγουσιν εἰς της. καὶ ὅσα παράγονται ἐκ τοῦ ἀρχω τρίβω πωλῶ μετρῶ. ὁρῶ καὶ ἔτι ἐθνικὰ ποιοῦσι τὴν ἐλληνικὴν εἰς α, ἢ ὀξυτόνως, ἢ παροξυτόνως (ὡ κρι-

Ὁ Λῃστὴς,	τοῦ λῃστοῦ,	τῷ λῃστῇ,	τὸν λῃστὴν,	ὦ λῃστά.
Οἱ Λῃσταὶ,	τῶν λῃστῶν, (α)	τοῖς λῃσταῖς,	τοὺς λῃστὰς,	ὦ λῃσταί.

Δυϊκ. Τὼ Λῃστὰ, τοῖν λῃσταῖν, ὦ λῃστά.
Τοῦτο ἐστι Κοινὸν, ὁ Λῃστὴς, καὶ ἡ λῃστής.

Εἰς τὴν Πρώτην Κλίσιν ἀνάγονται, καὶ ὅσα κλίνονται ἀφαιρέσει τοῦ Σ.

Ὁ Θωμᾶς,	τοῦ Θωμᾶ,	τῷ Θωμᾷ,	τὸν Θωμᾶν,	ὦ Θωμᾶ.
Ὁ Διώνθας,	τοῦ διώνθα,	τῷ διώνθᾳ,	τὸν διώνθαν,	ὦ διώνθα.
Ὁ Μωσῆς,	τοῦ μωσῆ,	τῷ μωσῇ,	τὸν μωσῆν,	ὦ μωσῆ.
Ὁ Ἰησοῦς,	τοῦ ἰησοῦ,	τῷ ἰησοῦ,	τὸν ἰησοῦν,	ὦ ἰησοῦ.

Ὅσα δὲ παράγωγα ῥηματικὰ, ἢ ὀνοματικὰ, γράφονται καθὼς τὰ πρωτότυπα, κυβερνήτης, Θύτης, κριτὴς, πρεσβύτης, Σαμαρείτης.

ΟΤΗΣ. ἀρσενικ. εἰμὲν ἔχουσι τὸ ω. καθαρὸν, τὸ ωμέγα. Ἰδιώτης, στρατιώτης. εἰδὲ μὴ καθαρὸν, τῷ ομικρῷ. τοξότης, ἐξαιροῦνται, Θειασώτης, Ἠπειρώτης, θεσμώτης, εὐρώτης. καὶ τὰ ῥηματικὰ ζηλωτής.

ΟΝΗΣ, Τὸ ἀναπαλιν. Τελώνης. πλὴν διώνης.
ΟΡΑΣ, Τῷ ομικρῷ, Πυθαγόρας, πλὴν γκώρας.
ΩΔΗΣ, ΩΝΑΣ, ΩΣΤΗΣ, Τῷ ω. Εὐώδης, Κλεωνᾶς, χρεώστης.

12 Ἡ

κριτὰ, ὦ Ἱεράρχα, ὦ Παιδοτρίβα, ὦ βιβλιοπῶλα, ὦ γεωμέτρα, ὦ κυνῶπα, ὦ πέρσα) τὸ δὲ Δέσποτα, μητέτα, ἀκάκητα, εὐρύοπα, προπαροξυτόνως

(α) Ἡ Πληθυντ. Γενικὴ τῶν Πρωτοκλίτων, καὶ Δευτεροκλίτων περισπᾶται. πλὴν χρημάτων, χλούων, ἐτησίων, ἀρύων, καὶ ἐκ τῶν παροξυτόνων δευτεροκλίτων, ὅσα ἐπίθετα τριγενῆ, ἁγία ἁγίων φίλη φίλων. φυλάττουσι γὰρ τὸν αὐτὸν τόνον. μὲ τὰς γενικὰς τῶν ἀρσενικῶν.

12 Ἡ Δευτέρα Κλίσις ἔχει ὀνόματα θηλυκὰ, τῶν ὁποίων αἱ λήγουσαι εἰς πάσας τὰς πτώσεις γράφονται ὁμοίως, μὲ τοὺς παρόντας τύπους·

Ἡ Καθαρὰ	τῆς καθαρᾶς	τῇ καθαρᾷ	τὴν καθαρὰν	ὦ καθαρά
Αἱ Καθαραὶ	τῶν καθαρῶν	ταῖς καθαραῖς	τὰς καθαρὰς	ὦ καθαραί
Δυϊκ. Τὰ Καθαρὰ		ταῖν καθαραῖν		ὦ καθαρά.
Ἡ Ἀλήθεια	τῆς ἀληθείας	τῇ ἀληθείᾳ	τὴν ἀλήθειαν	ὦ ἀλήθεια
Αἱ Ἀλήθειαι	τῶν ἀληθειῶν	ταῖς ἀληθείαις	τὰς ἀληθείας	ὦ ἀλήθειαι
Τὰ Ἀληθεία		ταῖν ἀληθείαιν		ὦ ἀληθεία.

Ἡ δὲ Παραλήγουσα ὀρθογράφεται οὕτω. Τὰ Εἰς.

13 ΑΙΑ. βαρύτον. μονογ. ἀσυναίρετ. τῇ αι. πλὴν ἁλέα, θέα, ἰδέα, πτελέα, νεμέα.

ΑΙΝΑ. τῇ αι. πλὴν γένα, καὶ τῶν διὰ δύο. ν. γέννα.

ΕΡΑ. τῷ ε. πλὴν σφαῖρα, χίμαιρα, νέαιρα; μάχαιρα. ἑταίρα φαίδρα, τῇ αι.

ΗΡΑ. καὶ ΗΤΡΑ. τῷ η. πλὴν μίτρα, λίτρα, τῷ ι. καὶ χύτρα, ὕδρα, τῷ υ.

ΙΝΑ, τῷ ι. πλὴν πεῖνα τῇ ει. ἄμυνα, κόρυνα τῷ υ. καὶ δέσποινα τῇ οι

ΥΡΑ. τῷ υ. πλὴν πύρα, χύρα, θύρα, τῷ η. καὶ μοῖρα τῇ οι, καὶ σπεῖρα, πεῖρα, σεῖρα, σειρὰ, καὶ τὰ ἀπὸ ἀρσενικῶν, σώτειρα, πίειρα, τῇ ει. τὰ δὲ λοιπὰ τῷ ι.

ΥΖΑ. καὶ ΥΛΛΑ. τῷ υ. πλὴν ῥίζα, σχίζα, σκίλλα, καὶ ἀμίλλα τῷ ι

ΙΑ. καθαρὸν τῷ ι. ἐξαιροῦνται ὅσα παράγονται ἀπὸ υς, εια. ὀξὺς ὀξεία. καὶ τὰ ἀπὸ εἰς ευω, ῥημάτων, λατρεύω λατρεία. καὶ ὅσα προπαροξύτ. εὐγένεια, Ἱέρεια (πλὴν πολύμνια, ψάλτρια. ὀρχίστρια, τυμπανύστρια) καὶ ἔτι παρειὰ, ζειὰ, φορβειὰ, ὑγεία, σιτοδεία. λεία, χρεία, ἐγχεία, μνεία, θυεία, νωθεία τῇ ει. Τροία, πτοία, ῥοιὰ, χροιὰ, Βερροια, καὶ ὅσα ἀπὸ τῶν εἰς ους, εἰς οια, νοῦς, εὔνοια, πλοῦς, εὔπλοια, τῇ οι.

Υα. Πιτύα δὲ καὶ Λιβύα τῷ υ. καὶ ὀργυιὰ, μητρυιὰ, ἀγυιὰ, μυῖα, ἄρπυια, αἴθυια, Εἰλήθυια τῇ υι.

Ἡ Μοῦ-

Ἡ Μοῦσα, τῆς μούσης, τῇ μούσῃ, τὴν μοῦσαν, ὦ μοῦσα, τῶν μουσῶν, ταῖς μούσαις, τὰς μούσας, ὦ μοῦσαι, (Δυϊκ. τὰ μούσα, ταῖν μούσαιν, ὦ μούσα)
Ἡ Τιμὴ, τῆς τιμῆς, τῇ τιμῇ, τὴν τιμὴν, ὦ τιμή. αἱ τιμαὶ, τῶν τιμῶν, ταῖς τιμαῖς, τὰς τιμὰς, ὦ τιμαί. (Δυ. τὰ τιμὰ, ταῖν τιμαῖν, ὦ τιμά)
Ἡ Κλίνη, τῆς κλίνης. τῇ κλίνῃ, τὴν κλίνην, ὦ κλίνη. αἱ κλίναι, τῶν κλινῶν, ταῖς κλίναις, τὰς κλίνας, ὦ κλίναι. (Δυϊκ. τὰ κλίνα, ταῖν κλίναιν, ὦ κλίνα)

Τὰ Εἰς

ΥΗ καὶ ΥΠΗ, πάντα τῷ υ. ἰγνύη, τολύπη.

ΙΚΗ καὶ ΙΣΚΗ τῷ ι. πλὴν καρύκη καλύκη, τῷ υ. καὶ θήκη τῷ η.

ΥΛΗ τῷ υ. πλὴν κονίλη τῷ ι. καὶ ἀπειλὴ ὠτειλὴ τῇ ει. καὶ γαμφηλὴ σφήλη ἀνθήλη τῷ η.

ΗΝΗ τῷ η. πλὴν ἀξίνη, αἰγίνη, δίνη, ὑσμίνη, εἰλαπίνη. τῷ ι. καὶ ὀθόνη, κορώνη, μύνη, φρύνη, γυνὴ, καὶ τὰ εἰς οσυνη τῷ υ. καὶ θοίνη, ποινὴ, μενοινὴ τῇ οι. ὅσα δὲ ῥηματικὰ ὡς τὸ ῥῆμα. κλίνω. κλίνη, αἰσχύνω, αἰσχύνη.

ΙΤΗ. ΙΣΣΑ. ΙΦΗ τῷ ι. πλὴν κοίτη, ἀλοιφὴ τῇ οι. κολύφη, λύσσα, κορυφὴ τῷ υ. ἀκαλήφη τῷ η. καὶ τὰ ἀπὸ ἀρσενικοῦ λίβυσσα, μάγνησσα.

ΩΑ, ΩΜΗ, καὶ ΩΝΗ, ΩΝΑ τῷ ω. ἐξαιροῦνται κώμη, βελόνη, ἀκόνη, σφενδόνη, ἀθόνη, καλλονὴ, καὶ τὰ Κύρια Σωφρόνη, Σολομονὴ, καὶ ὅσα κατὰ προσθήκην συλλαβῆς, ᾠδὴ, ἡδονὴ, περῶ, περόνη, ἄγχω, ἀγχόνη. πλὴν τῶν ἐκ μονοσυλλάβ. ῥημάτων. φῶ, φωνή. καὶ ζῶ, ζωή.

ΩΡΑ. ΩΠΗ. καὶ ΩΧΗ τῷ ω. πλὴν Ἰόπη. Πηνελόπη. μολόχη. καὶ Καλλιόπη ἐκ τοῦ ὄψ. Καὶ ὅσα ἔχουσι τὸ αὐτὸ σύμφωνον ἐν τῇ πρώτῃ καὶ δευτέρᾳ συλλαβῇ τῷ ω. ἀγωγὴ, ἐδωδὴ, ἀκωκή.

2 Ἡ Τρί-

Σημείωσαι ὅτι τὰ εἰς α καθαρὸν, ἢ μακρὸν, καὶ εἰς ρα. θα. δα φυλάττουσι τὸ ἄλφα καὶ εἰς τὰς πλαγίας. Ἀθηνᾶ, μοῖρα, ἡμέρα, λύδα, μάρθα, πλὴν ἀκανθα, ἀκάνθης. „Ἔτι πάντα τὰ παροξύτονα τριγενῆ, ποιουσι τὰς πληθυντικὰς ὀνομαστικὰς προπαροξυτόνους ἢ ἁγία, αἱ ἅγιαι, ἡ καλλίστη, αἱ καλλίστη. „Ἔτι πάντα τὰ προπαροξύτονα τῆς β΄ καὶ γ΄ κλίσεως ποιουσι τὴν γενικὴ καὶ δοτικὴ σαροξυτόνους ἀλήθεια, ἀληθείας, ἅγιος, ἁγίου, ὅτι μακρᾶς οὔσης τῆς ληγούσης οὐ δύνανται νὰ προπαροξυνθῇ λέξις κοινή. πλὴν τῶν κλινομένων εἰς τὸ ὄρις, πόλις, καὶ σίνηπι.

14 Ἡ Τρίτη Κλίσις ἔχει ὀνόματα ἀρσενικὰ καὶ θηλυκὰ εἰς ος. καὶ οὐδέτερα εἰς ον. τῶν ὁποίων αἱ λήγουσαι γράφονται κατὰ τοὺς ἑξῆς τύπους

Ὁ Ναὸς,	τοῦ ναοῦ,	τῷ ναῷ,	τὸν ναὸν·	ὦ ναέ·
Πληθ. Οἱ Ναοὶ,	τῶν ναῶν,	τοῖς ναοις,	τοὺς ναοὺς,	ὦ ναοί
(Δυϊκ. Τὼ Ναὼ,	τοῖν ναοῖν,	ὦ ναὼ.		

Ἡ δὲ Παραλήγουσα ὀρθογραφεῖται οὕτω· Τὰ Εις·

15 ΑΙΟΣ πάντα τῇ αι ἐξαιροῦνται τὰ εἰς λέος, ῥωμαλέος· καὶ τὰ θετικὰ, (πλὴν τοῦ εὐκταῖος.) καὶ ἔτι νέος, Θεὸς, στερεὸς, κενεὸς, ἐννεὸς, καὶ τὰ μονογενῆ, φωλεὸς, καὶ ἔτι τὰ κτητικὰ ἐκτόρεος, χρύσεος, ἃ καὶ ἐκτόρειος χρύσειος λέγονται.)

ΑΙΜΟΣ ΑΙΝΟΣ ΑΙΡΟΣ ΑΙΣΤΟΣ ἐκ τούτων τὸ λαιμὸς, καινὸς, κελεινός. αἰνὸς καὶ τὰ ἐξ αὐτοῦ· καὶ θαιρὸς, καιρὸς, ἑταῖρος, Ἥφαιστος,

ΗΓΟΣ, Ηλος, τῷ η. ἐξαιροῦνται λοιγὸς, κοιλὸς, τῇ οι. θειλὸς, νειλὸς, κροκόθειλος· τῇ ει. ζυγὸς, κυλλὸς, χυλὸς, παχυλὸς, σῦλος, τύλος, μύλος, ψύλλος, θάκτυλος, κόνδυλος, κρώβυλος, σπόνδυλος, μίκυλος τῷ βραχεῖ υ. τὰ δὲ λοιπὰ τῷ μακρῷ ι. πίλὸς, ψιλὸς.

ΗΝΟΣ. Κιζυκηνὸς, ἀμενηνὸς, γαλαθηνὸς, πτηνὸς, ψηνὸς, ληνὸς, θρῆνος, σιληνὸς, δύσηνος, τῷ η. Ταπεινὸς, ωετεινὸς, καὶ ὅσα παράγονται ἀπὸ ὀνομάτων ληγόντων εἰς ος. τάχος, ταχεινὸς, πόθος, ποθεινὸς, φῶς, φωτεινὸς, τῇ ει· οἶνος, σχοῖνος, κοινὸς, τῇ οι. καὶ κίνδυνος. πίσσυνος, θῦννος, φρῦνος, λάγυνος τῷ υ. τὰ δὲ λοιπὰ τῷ ι.

ΥΒΟΣ. κύβος. πλὴν φοῖβος.

ΥΡΟΣ ὀξύτ. καὶ βαρύτ. τῷ υ. πλὴν σκίῤῥος, ἶρος τῷ ι. καὶ χοῖρος τῇ οι

Ὅσα δὲ ἐπίθετα τριγενῆ ὀξύτονα τῷ η. ἀνθηρὸς, ξηρὸς, κ. λ. πλὴν καυστιρὸς, καὶ ἔτι θειρὸς, τῇ ει. καὶ μηρὸς τῷ η.

ΥΘΟΣ, ΥΘΜΟΣ, καὶ ΥΜΟΣ. ἐκ τούτων τὸ λήκυθος, ζῦθος, μῦθος, βυθὸς, ῥυθμὸς, θυμὸς, κρυμὸς, χυμὸς, δίδυμος, σκόλυμος, ἔτυμος, καὶ τὰ ἐκ τοῦ ὄνομα ὁμώνυμος τῷ υ. κνημὸς, ἔρημος, τῷ η. λοιμὸς οἶμος, ἕτοιμος, τῇ οι. τὰ δὲ λοιπὰ τῷ ι. ἢ φυλάττουσι τὴν γραφὴν τῶν πρωτοτύπων.

Τὰ

Ὁ Λόγος τοῦ λόγου τῷ λόγῳ τὸν λόγον ὦ λόγε. οἱ λόγοι τῶν λόγων τοῖς λόγοις τοὺς λόγους ὦ λόγοι· (Δυϊκ. τὼ λόγῳ τοῖν λόγοιν ὦ λόγω)

Ὁ Ἄνθρωπος τοῦ ἀνθρώπου τῷ ἀνθρώπῳ τὸν ἄνθρωπον ὦ ἄνθρωπε

Οἱ ἄνθρωποι τῶν ἀνθρώπων τοῖς ἀνθρώποις τοὺς ἀνθρώπους ὦ ἄνθρωποι

(Δυϊκ. Τὼ Ἀνθρώπω τοῖν ἀνθρώποιν ὦ . . . Τοῦτο ἐστι κοινόν

Τὰ Εἰς·

ΥΤΟΣ. ΥΦΟΣ· ΥΧΟΣ. πλὴν ὑμπτὸς, μίλητος, ψῆρος, ἦχος τῷ η· καὶ λιτὸς, ἔριφος, Σέριφος, γρῖφος, δόλιχος, μείλιχος, τάριχος, στίχος τῷ ι. καὶ οἶτος, μοιχὸς, τοῖχος τῇ οι.

ΥΝΘΟΣ. ΥΠΟΣ. ΥΣΤΟΣ. ΥΣΟΣ ἐκ τούτων τὸ Ζάκυνθος· Ὄλυνθος, ξυστὸς, βύσσος, ἄβυσσος, Δυόνυσος, τῷ υ· λοίσθος, Κροίσος, λοιπὸς τῇ οι. νῆσος, βῆσσος, τῷ η. παράθεισος τῇ ει. τὰ δὲ λοιπὰ τῷ ι. εἰμὴ ἐκ παραγωγῆς.

ΕΙΚΟΣ, ἐκ τῶν κτητικῶν τὸ θηλυκὸς, ἁλυκὸς, λιβυκὸς, τῷ υ. τὰ δὲ συκοφὴν λαμβάνοντα ὡς τὸ θαρεικὸς εὐβοεικὸς (ἀπὸ θαρειακὸς, εὐβοειακὸς) τῇ ει Ἐκ δὲ τῶν μὴ κτητικῶν, σηκὸς πίθηκος τῷ η λύκος, κόρυκος τῷ υ· καὶ σόλοικος ἀγροικος τῇ οι. τὰ δὲ λοιπὰ τῷ ι.

ΙΟΣ ἐκ τούτων τὰ μὲν ὀξύτονα ποταμῶν ὀνόματα Ἀλφειὸς, Πηνειὸς, καὶ ἔτι νειὸς, ἀφνειὸς τῇ ει. φλοιὸς δὲ καὶ κλοιὸς, γλοιὸς, κολοιὸς τῇ οι. τὰ δὲ λοιπὰ τῷ ι.

ΙΟΣ, Βαρύτονα Κτητικὰ, θεῖος, καὶ τὰ προπαροξύτονα ἀπὸ ἀνθρώπων ζώων. καὶ ποταμῶν. ἀνθρώπειος, ἵππειος, Ἱορδάνειος. καὶ τὰ ἀπὸ εἰς ευω ῥημάτων, ἐπιτηδεύω ἐπιτήδειος· καὶ τά ἐκ τοῦ γέα ἐπίγειος. καὶ τὰ εἰς λειος τῇ ει. (πλὴν αἰμύλιος καὶ ὀμφάλιος) Ὅσα δὲ μὴ τοιαῦτα. καὶ ὅσα Κύρια τῷ ι. πλὴν Δαρεῖος, Βασίλειος, Εὐγένειος (ὁ ἔχων καλὸν γένειον) τῇ ει. ἑκατόμβοιος τῇ οι. κρήγυος τῷ υ

ΟΙΟΣ ἀπὸ τῶν εἰς ος γινόμενα μήτε Κτητικά. μήτε Κύρια τῇ οι. ἄλλος ἀλλοίος. ὁμὸς ὁμοῖος. (καὶ ὅμοιος) γέλως γελοῖος. παντὸς παντοίος.

ΕΙΡΟΣ Προπαροξύτονα τῇ ει. πλὴν σίδηρος φάληρος Ὅμηρος πενταέτηρος τῷ η· καὶ ἄργυρος ζέφυρος πάπυρος σάτυρος ἀνάγυρος σῦρος τῷ υ.

Ἡ

Ἡ Ὁδὸς, τῆς ὁδοῦ, τῇ ὁδῷ, τὴν ὁδὸν, ὦ ὁδέ.
Αἱ Ὁδοὶ, τῶν ὁδῶν. ταῖς ὁδαῖς, τὰς ὁδοὺς, ὦ ὁδοί.
(Δυϊκ. Τὰ Ὁδώ, ταῖν ὁδοῖν. ὦ ὁδώ)
Ἡ Κάμινος, τῆς καμίνου, τῇ καμίνῳ, τὴν κάμινον, ὦ κάμινε
Αἱ Κάμινοι, τῶν καμίνων, ταῖς καμίνοις, τὰς καμίνους, ὦ κάμινοι
(Δυϊκ. Τὰ καμίνω, ταῖν καμίνοιν, ὦ καμίνω.)
Οὐδ. Τὸ καλὸν, τοῦ καλοῦ, τῷ καλῷ, τὸ καλὸν ὦ καλόν
Τὰ Καλὰ, τῶν καλῶν, τοῖς καλοῖς, τὰ καλὰ, ὦ καλά
(Δυϊκ. Τὼ Καλὼ, τοῖν καλοῖν, ὦ καλώ.
Τὸ Μῆλον, τοῦ μήλου, τῷ μήλῳ, τὸ μῆλον, ὦ μῆλον.
Τὸ Δίκαιον, τοῦ δικαίου, τῷ δικαίῳ, τὸ δίκαιον, ὦ δίκαιον

Ὀρθογραφία. Τὰ Εἰς.

ΩΓΟΣ καὶ ΩΔΟΣ τῷ ω. πλὴν ὁδὸς, καὶ τῶν ῥηματικῶν λόγος.
ΩΨ Κτητικὰ τῇ ῳ διφθόγγῳ, μὴ κτητικὰ δὲ τῷ ὼ λαγωὸς, πλὴν ἀ-ῤῥόος ὄγδοος, καὶ ὅσα συναιρεῦνται εἰς οῦς, ἁπλόος νόος νοῦς.
ΩΡΟς τῷ ω πλὴν θορὸς, χορὸς, κόρος, μόρος, σορὸς, (τὸ μνῆμα) καὶ ὅσα προπαροξύτονα, βόρβορος, κλ. ἐκτὸς τοῦ ὀλίγωρος.
ΩΛΟΣ τῷ ω πλὴν ἑβολὸς, θολὸς, ὀδλος, ὅλος, πῶλος, ἄκολος, Αἴολος, (κύριον.)
ΩΜΟΣ ΩΝΟΣ ΩΠΟΣ ΩΤΟΣ ΩΧΟΣ τῷ ω πλὴν ὄνος, φθόνος, γόμος ξενοδόχος, καὶ τῶν ῥηματικῶν. τόμος, πόνος.

Περὶ τῶν οὐδετέρων. ὅσα οὐκ ἔχουσιν Ἀρσενικόν. Τὰ Εἰς.
ΑΙΟΝ τῇ αι. σπήλαιον. πλὴν ὄρνιον, ὄρνεον.
ΥΛΟΝ εἰμὲν εἰσὶ παροξύτονα τῷ υ. πλὴν μῆλον. εἰδὲ προπαροξύτονα τῷ η. ἄρβηλον, πλὴν πέδιλον.
ΙΝΟΝ ΙΤΟΝ τῷ ι. πλὴν σίγυνον τῷ υ. καὶ κάρηνον τῷ η.

Ὀρ-

Σημείωσαι ὅτι ἐν τοῖς οὐδετέροις τρεῖς πτώσεις εἰσὶν ὅμοιαι ἐν παντὶ ἀριθμῷ ὀνομαστική, αἰτιατικὴ, καὶ κλητική. Καὶ ἡ ὀνομαστικὴ τῶν ὀνομάτων πάντων λαμβάνεται καὶ ὡς κλητική. Ἄττικα ὦ Δίνεια, ὦ χρύσης, ὦ λόγος, ὦ ὁδὸς, ὦ ξύλον, ὦ Αἴας ὦ Δημοσθένης.

Τὰ Δίκαια, τῶν δικαίων, τοῖς δικαίοις, τὰ δίκαια, ὦ δίκαια
(Δυϊκ. Τὼ δικαίω, τοῖν δικαίοιν, ὦ δικαίω.

17 Ἡ

Εἰς τὴν τρίτην ἀνάγονται καὶ μερικὰ ὀνόματα Ἀττικὰ εἰς ΩΣ, ἐκ τῶν κοινῶν τῆς τρίτης ἢ τῆς τετάρτης γενόμενα, τρέποντα ὅμως τὸ μακρὸν ᾱ εἰς Ε.

Ὁ Νεὼς, τοῦ νεὼ, τῷ νεῷ, τὸν νεὼν, (α) ὦ νεὼς.
Οἱ Νεὼ, τῶν νεῶν, τοῖς νεὼς, τοὺς νεὼς, ὦ νεώ.
(Δυϊκ. Τὼ Νεὼ, τοῖν νεών, ὦ νεώ. ἀπὸ τοῦ ναὸς.
Κοινὸν. Ὁ εὖγεως, τοῦ εὖγεω, τῷ εὖγεῳ, κλ. ὁμοίως, ἀπὸ εὖγειος.
Ἡ Ἅλως, τῆς ἅλω, τῇ ἅλῳ, τὴν ἅλων, ὦ ἅλως. αἱ ἅλω, τῶν ἅλων, ταῖς ἅλως, τὰς ἅλως, ὦ ἅλω. (Δυϊκ. τὰ ἅλω, ταῖν ἅλων) ἀπὸ ἄλλων
Τὸ Εὖγεων, τοῦ εὖγεω, τῷ εὖγεῳ, τὸ εὖγεων, ὦ εὖγεων, τὰ εὖγεω, τῶν εὖγεων, τοῖς εὖγεως, τὰ εὖγεω, ὦ. (Δυϊκ. τὼ εὖγεω, τοῖν εὖγεων

Ὀρθογραφία. Τὰ Εἰς.

ΥΡΟΝ τῷ υ. πλὴν ἄνθηρον. καὶ τῶν ἐπὶ πόλεων. Ἄβδηρα, Στάγειρα.
ΗΤΡΟΝ τῷ η. πλὴν νίτρον ἄγκιστρον τῷ ι. καὶ λύτρον, ἔλυτρον τῷ υ
ΙΟΝ μονογενῆ τῷ ι. ἐξαιροῦνται ὄϊκτιον, σίκυον, θάκρυον, κάρυον, κρόμμυον, πῦον, πτύον, βρύον, θρύον, τῷ υ. πλοῖον, αἰδοῖον τῇ οι σίγειον, προάστειον, κώνειον, γεράνειον, σημεῖον, βραβεῖον, στοιχεῖον στυπεῖον, ἐλεγεῖον, καὶ τὰ περιεκτικὰ, δαχεῖον, ἀγγεῖον, ἀρχεῖον κλ. τῇ ει. ἐκτὸς γαζοφυλάκιον καὶ γυμνάσιον.
ΩΝ ὀξύτονα μὲν τῷ ω. ὠόν. μὴ ὀξύτονα δὲ τῇ ῳ διφθόγγῳ. ζῷον, ὑπερῷον.
Ὅσα δὲ ἔχουσιν ἀρσενικὸν φυλάττουσι τὴν γραφὴν αὐτοῦ. ὁμοίως καὶ τὰ θηλυκά.
Τὰ εἰς ΕΩΣ καὶ ΕΩΝ Ἀττικὰ λήγουσι μὲν εἰς ω. παραλήγουσι δὲ τῷ ε. λεώς. Μενέλεως. εὖγεων.

Ἀ-

(α) Ἐξαιροῦνται Ἄθω. Κώ ἔῳ λαγὼ ἀγὼρω πλέω. ἄνευ τοῦ ν.

17 Ἡ Τετάρτη κλίσις ἔχει ὀνόματα περιττοσύλλαβα· ἀρσενικὰ, θηλυκὰ, κοινὰ, καὶ οὐδέτερα· τῶν ὁποίων ἡ ὀνομαστικὴ τελειώνει εἰς πολλά· αἱ δὲ λοιπαὶ πτώσεις γράφονται κατὰ τοὺς ἑξῆς τύπους·

Ὁ Μὴν, τοῦ μηνὸς, τῷ μηνὶ, τὸν μῆνα, ὦ μὴν· οἱ μῆνες, τῶν μηνῶν· τοῖς μησὶ, τοὺς μῆνας, ὦ μῆνες (Δυ· τὼ μῆνε, τοῖν μηνοῖν, ὦ μῆνε·)

Ὁ

Αἱ μετὰ τοῦ Α λήγουσαι ἀρσενικῶν καὶ θηλυκῶν εἰσὶν εἰς ᾶν· ᾶξ· ᾶφ· αρξ· ας· αψ· τῶν δὲ οὐδετέρων εἰς α· αν· αρ· ας·

Αἱ δὲ λοιπαὶ λήγουσαι ὀρθογράφονται οὕτω. Τὰ Εἰς.

18 ΑΙΣ μονογενῆ, ἡ κοινὰ τῇ Αι· θαὶς· παῖς·

ΑΙΞ τῇ Αι· αἴξ, αἰγὸς, καλλιγύναιξ· πλὴν τῶν ἐκ τοῦ τέκω, ἐπίτεξ· καὶ τοῦ ἔξ· ἀριθμ·

ΗΝ Ὅσα δικαταλήκτα τῷ ε· δελφὶν, ῥὶν, ἀκτὶν· Ὅσα δὲ μὴ δικαταλήκτα τῷ Η· λιμὴν, Ἕλλην, πλὴν γόρτυν, μόσυν, φόρκυν·

ΥΞ τῷ υ· πλὴν σὶξ σιχὸς, φρὶξ φρικὸς, θρὶξ τριχὸς, τέττιξ κοΐνιξ κύλιξ, φοίνιξ, πέρδιξ, ἥλιξ, μάστιξ, ἔλιξ, σάλπιγξ, σφίγξ, μήνιξ τῷ ι καὶ μύρμηξ, νάρθηξ, σκώληξ, σφήξ, βήξ, χάλικξ, ὕσπληγξ, καὶ βουπλήξ (ἐκ τοῦ πλήττω) τῷ η· καὶ προΐξ· τῇ οι·

ΗΡ τῷ Η· πλὴν χεὶρ, φθεὶρ, εἴρ, εἰνάτειρ, σάπφειρ τῇ ει· καὶ πῦρ ψίθυρ, μάρτυρ, (ἐξ οὗ μάρτυς) τῷ υ·

ΗΣ Ὅσα ἀρσενικὰ κλίνονται διὰ τοῦ ους. ἢ διὰ τοῦ τ· καὶ ὅσα θηλυκὰ εἰς της, κλινόμενα διὰ τητος, τῷ η· γράφονται· Δημοσθένης, ἀληθὴς, λάχης, ἀγιότης, ταχύτης· Ὅσα κλίνουσι τὴν γενικὴν καθαρῶς, διὰ τοῦ ους κοινῶς· καὶ εως Ἀττικ· ἢ διὰ τοῦ δ· ἢ θ· ἢ τ· γράφονται τῷ ι· Ὄφις, Πόλις, Πάρις, ὄρνις, χάρις, ἐλπὶς· πλὴν κλείς τῇ ει· καὶ χλαμὺς κόρυς τῷ υ· Ὅσα κλίνονται διὰ τοῦ ν· ἢ διὰ τοῦ ντ· τῇ ει· κτεὶς κτενός· χαρίεις χαρίεντος· πλὴν τοῦ τις καὶ Κλήμης Ὅσα δὲ ἔχουσι δύο σύμφωνα ἐν τῷ τέλει· τούτων τὸ μὲν ἕλμινς τῷ ι· τὸ δὲ Τίρυνς τῷ υ·

ΥΣ Ὅσα τριγενῆ μὴ ὄντα κοινὰ, ἡδὺς, ὀξὺς, καὶ ὅσα μονοσύλλαβα μῦς, ὀρῦς, καὶ ὅσα δισύλλαβα μονογενῆ, κλινόμενα ἢ διὰ τοῦ υος

ἰχθῦς

Ὁ Λᾶας, τοῦ λᾶαντος, τῷ λᾶαντι, τὸν λᾶαντα, ὦ λᾶαν· οἱ λᾶαντες, τῶν λιάντων, τοῖς λιάσι, τοὺς λᾶαντας, ὦ λᾶαντες· (Δυϊκ· τὼ λᾶαντε, τοῖν λιάντοιν, ὦ·)

Ἡ Τρυγὼν τῆς τρυγόνος, τῇ τρυγόνι τὴν τρυγόνα, ὦ τρυγὼν· αἱ τρυγόνες τῶν τρυγόνων, ταῖς τρυγόσι τὰς τρυγόνας, ὦ τρυγὼν· (Δυϊκ· τὰ τρυγόνε· ταῖν τρυγόνοιν ὦ τρυγόνε·)

Τὸ Βῆμα τοῦ βήματος, τῷ βήματι, τὸ βῆμα ὦ βῆμα· τὰ βήματα τῶν βημάτων, τοῖς βήμασι, τὰ βήματα, ὦ βήματα· (Δυϊκ· τὼ βήματε τοῖν βήματοιν, ὦ βήματε·)

εἶδος

ἰχθῦς ἰχθύος, ἡ διὰ τοῦ εως πρέσβυς πρέσβεως· πάντα τῷ υ·

Υ· Οὐδέτερα τῷ υ· δόρυ, ἡδὺ, μῦ, νῦ, πλὴν μέλι, κόμμι, σίνηπι, πέπερι, σίμμι, σῖ, φῖ, χῖ, ψῖ· στοιχειακά·

ΥΨ τῷ υ· γύψ, χάλυψ· πλὴν νὶψ, λὶψ, ῥὶψ, σκνὶψ τῷ ι· καὶ θὴψ τῷ η·

ΩΝ ΩΣ καὶ Ω ἀρσενικὰ καὶ θηλυκὰ, τῷ ω· λέων, τρυγὼν, νεὼς, ἔρως, αἰδὼς, λητὼ· οὐδέτερα δὲ τῷ ὁμικρῷ· τεῖχος, ξίφος·

ΩΞ καὶ ΩΡ τῷ ω· πλὴν φλὸξ, καὶ ἄορ ἦτορ· τῷ ὁμικρῷ·

ΩΨ ὅσα μονοσύλλαβα τῷ ω· θὼψ· ὤψ· (ὁ ὀφθαλμὸς καὶ πρόσωπον) καὶ τὰ ἐξ αὐτοῦ μύωψ, ὕδρωψ, κύκλωψ· κώνωψ· (πλὴν αἰθίοψ· οἴνοψ σκόλοψ, καὶ ὄψ τοῦ σημαίνοντος τὴν φωνὴν καὶ τῶν ἐξ αὐτοῦ μέροψ·

Ἡ δὲ παραλήγουσα ὀρθογράφεται οὕτω· Τὰ Εἰς.

19 ΑΙΝΙΣ πάντα τῇ αι· μαινίς·

ΕΔΩΝ καὶ ΕΩΝ· ἐκ τούτων μόνον τὸ φαίδων· αἰὼν, Παίων, ἐλαιών·

ΕΜΩΝ καὶ ΕΦΟΣ· μόνον τὸ δαίμων, αἷμων, καὶ λαῖφος·

ΗΔΩΝ τῷ η· ἀηδὼν, πλὴν χελιδών· σιδὼν, μυρμιδὼν, Σπυρίδων· τῷ ι· καὶ Ποσειδὼν τῇ ει· καὶ καλυδὼν, Ἀμυδὼν, κλύδων τῷ υ·

ΗΜΩΝ ΗΡΩΝ τῷ η· πλὴν αμύμων· δαιτύμων· στρυμὼν τῷ υ· καὶ λειμὼν· χειμὼν· λευχείμων (ἐκ τοῦ εἶμαι) εἵρων τῇ ει· καὶ Κίμων τῷ ι

ΗΜΑ τῷ η· πλὴν ἔτυμα, κάττυμα τῷ υ· καὶ τὰ ῥηματικά·

ΗΝΟΣ Ηδος Ηθος Υσος Ητος Υφος οὐδέτερα· ἐκ τούτων τὸ ὕφος· κῦδος· κύτος· σκῦτος· κέλυφος· τρύφος· κῦρος· μύσος· τὸ μίασμα τῷ υ·

εἶδος

εἶδος. ὄνειδος τῇ ει. ξίφος. βρίθος. στῖφος. κλῖτος. μῖσος τῷ ι· τὰ δὲ λοιπὰ τῷ η.

ΗΡΗΣ καὶ ΙΡΙΣ θηλυκὰ τῷ η ἰφήρης. κίσσηρις. πλὴν ἶρις. Ὄσιρις τῷ ι καὶ γύρις· θάμυρις· σπυρὶς· ἄγυρις (ἐξ οὗ πανήγυρις) τῷ υ·

ΙΑΣ θηλυκὰ τῷ ι· μυριὰς πλὴν γενειὰς πλειὰς πελειὰς τῇ ει·

ΙΕΥΣ ΙΗΣ τῷ ι· ἀχιλεὺς ὑγιὴς, ἐξαιροῦνται ὅσα φυλάττοτσι τὴν γραφὴν τῶν πρωτοτύπων. Σγειεὺς εὐβοιεὺς· τιμήεις εὐφυής.

ΙΛΕΥΣ καὶ ΙΠΠΑ τῷ ι. βασιλεὺς σκέπων, πλὴν πηλεὺς νηλεὺς τῷ η·

ΕΙΝΩΝ τῇ ει. καὶ πάντα τὰ οἰσύλλαβα συγκριτικὰ, πλὴν ζήνων καὶ ἥττων·

ΗΡΕΥΣ τῷ η· καρηρεύς· πλὴν καμιρεύς·

ΙΩΝ τῷ ι· πλὴν ἀρείων χερείων τῇ ει· Ἀμριτρύων ἠλεκτρύων (Κύρια) καὶ κύων ἀλεκτριὼν ἀλκυὼν προσηγορικὰ τῷ υ· καὶ παιήων τῷ η·

ΩΛΗΣ ἐκ τοῦ ολω, τῷ ω· πλὴν τῶν πρωτοκλίτων· μαινόλης φαινόλης, φαινόλου.

ΩΕΙΣ ὅσα ἔχουσι τὴν πρὸ τοῦ ο συλλαβὴν μακρὰν τῷ ω· κητώεις, τὰ δὲ μὴ τοιαῦτα τῷ ὁμικρῳ.

ΩΜΑ οὐδέτερα τῷ ω. πλὴν στόμα. καὶ τῶν ῥηματικῶν δόμα πόμα.

ΩΔΗΣ

Ποῖα ἐκ τῶν εις ων φυλάττουσι τὸ ω ἐν ταῖς πλαγίαις·

ΩΝ ὀξύτονα φυλάττουσι τὸ ω. ἐξαιροῦνται τὰ παραλήγοντα υ· ἢ Ἰῶτα μακρῷ. ( ) ἀλκυὼν ἀλκυόνος, χιὼν χιόνος, καὶ τὰ εἰς ὼν πλὴν σιδὼν Ἀμυδὼν Καλυδὼν μελεδὼν·

ΓΩΝ· ἐκ τούτων τὸ μὲν ἀγὼν καὶ ἀγκὼν φυλάττει· τὸ δὲ λαγὼν λαγκὼν οὔ·

ΩΝ παροξύτονα φυλάττει· ἐξαιροῦνται τὰ ῥηματικὰ, συγκριτικὰ, καὶ κοινὰ (ἐκτὸς τοῦ εἴρων καὶ αἴθων) καὶ τὰ παραλήγοντα τῷ υ. ἢ τῷ η ἢ τῷ μακρῷ α· ἢ Ἰῶτα. ἠλεκτρύων παιήων μαχάων πρίων καὶ τὰ δύο σύμφωνα διάφορα ἔχοντα εἰ τέλει· Ἀγαμέμνων τέκτων χθών (πλὴν τοῦ κλὼν) καὶ τὰ διὰ τοῦ ντ κλινόμενα λέων γέρων (πλὴν τῶν ἐκ συναιρέσεως βοῶντος, Ξενοφῶντος) Καὶ ἔτι τὰ ἐξῆς· κανὼν ἡγεμὼν ὁλοσ-

ΩΔΗΣ καὶ ΩΔΕΣ καὶ Ωτις τῷ ω· εὐώδης μαιῶτις·

ΟΤΠΣ θηλυκὰ παρώνυμα τῷ ὁμικρῷ· ἀγιότης·

21 Τύποι διαφόρων καταλήξεων ἐν τῇ ὀνομαστικῇ τῶν Τεταρτοκλίτων Η δοτικὴ πληθυντικὴ αὐτῶν λήγει ἀεὶ εις ι· καὶ εἰμὲν ἡ ἑνικὴ ὀνομαστικὴ ἔχει ἐν τῷ τέλει ν· ἀποβάλλει αὐτὸ ἡ δοτικὴ, εἰδὲ ἔχει ξ· ἢ ψ· ἢ ρ· ἢ σ· φυλάττει αὐτὸ καὶ ἡ δοτικὴ πληθυντικὴ, πλὴν τῶν εἰς αρ οὐδετέρων. θέλεαρ θελέασι, Ἔτι ὅσα σχηματίζουσι τὴν ἑνικὴν δοτικὴν εἰς οντι· ἢ εντι ποιοῦσι τὴν πληθυντικὴν εις ουσι. ἢ εσι καὶ εσσι Ἀττ· γέροντι γέρουσι, χαρίεντι χαρίεσι, καὶ χαρίεσσι.

Ἀ'ρσεν.	Ὀνομ· Γενικ.	Δοτ· Πληθ·	Περὶ Κλητ
Αις	αιδος Ὁ Παῖς τοῦ παιδὸς	τοῖς παισί	Ἡ ἑνικὴ Κλητικὴ
Αν	ανος Παιὰν παιᾶνος	παιᾶσι	τῶν τεταρτοκλίτων
Αξ	ἀγος Ἅρπαξ ἅρπαγος	ἅρπαξι	ὁμοία ἐστὶ τῇ ὀνο-
	ακος Κόραξ κόρακος	κόραξι	μαστικῇ· ὁ Ἕλλην
	ακτος Ἄναξ ἄνακτος	ἄναξι	τοῦ ἕλληνος ὦ ἕλ-
Αρ	αρος Μάκαρ μάκαρος	μάκαρσι	λην· ἡ λαμπὰς ὦ
Αλς	αλος Ὁ Ἅλς τοῦ ἁλὸς	ἁλσὶ	λαμπάς·
Ας	ανος Μέλας μέλανος	μέλασι	Ἐξαιροῦνται·
	αντος Κάλχας χαντος	κάλχασι	ά· Τὰ εἰς ας ἐπίθε-
Αψ	αβος Ἅραψ ἄραβος	ἄραψι	τα καὶ τὰ εἰς ην,
		Αψ	ὅτι

ὁλοσσὸν στῆμων τέλμων πέπων Ἰάσων ἰξίων Αμφίων ὑπερίων Πανδίων Κύρια· καὶ Λακεδαίμων Κύκων ἐθνικά·

ΩΣ πάντα φυλάττει τὸ ω· ἤρως ἤρωος, ἰδρὼς ἰδρῶτος·

ΩΡ παροξύτονα ὅσα ἔχουσι πρὸ τοῦ ω τὸ λ· ἢ τὸ μ· ἕλωρ τέκμωρ·

Ωψ καθὼς ἐν τῇ ὀνομαστικῇ, οὕτω καὶ ἐν ταῖς πλαγίαις· κύκλωψ κύκλωπος, Αἰθίοψ αἰθίοπος·

Ἀρσενι-

Ἄρσεν.	Ὀνομ. Γεν.	Δοτ. Πληθ.	Περὶ Κλητ.
Αψ αφος	Σκίραψ σκίραφος	σκίραφι	ὅτι ἀπὸ τῆς γενικῆς
Εις εντος ουντος	Σιμόεις μόεντος ουντος	μόεσι	ἀποβολῆ τῆς ος ποι-
Ειρ ειρὸς	Φθεὶρ φθειρὸς	φθειρσὶ	οῦσι τὴν κλητικὴν
Ην ηνος	Ἕλλην ἕλληνος	ἕλλησι	μέλας μέλανος ὦ
ενος	Ποιμὴν ποιμένος	ποιμέσι	μέλαν· Ἄρσην ἄρ-
Ηξ ηγος	Βουπλὴξ βουπλῆγος	βουπλῆξι	σενος. ὦ ἄρσεν. καὶ
ηκος	Μύρμηξ μύρμηκος	μύρμηξι	τὸ Ἄτλας· ὦ ἄτλα
ηχος	Βὴξ βηχὸς	βηξὶ	καὶ τὸ γυνὴ ὦ γύναι
Ιν ινος	Δελφὶν δελφῖνος	δελφῖσι	β. Ἔτι τὰ εἰς ης κλινό
Ιξ Ιγος	Τέττιξ τέττιγος	τέττιξι	μενα διὰ τοῦ εως καὶ
ικος	Φοίνιξ φοινικος	φοίνιξι	ους· ὅτι ποιοῦσι τὴν
Ις ιδος	Ὁ Πάρις πάριδος	πάρισι	κλητικὴν εἰς ες·
Ις εως	Ὄφις ὄφιος ὄφεως	ὄφεσι	Δημοσθένης· ὦ δη-
Ινς ινθος	Ὁ Ἕλμινς ἕλμινθος	ἕλμινσι	μόσθενες·
Ιψ ιβος	Οἰκότριψ οἰκότριβος	οἰκότριψι	γ. Τὰ διὰ τοῦ ντ
Ιψ ιπος	Σκνίψ σκνιπὸς	σκνιψὶ	κλινόμενα, ὅτι ἀ-
Ους οδος	Πούς ποδὸς	ποσὶ	πὸ τῆς γενικῆς ἀ-
Ους	Βοῦς βοὸς	βουσὶ	φαιρέσει τῆς τος
Ουντος	Ὀδοὺς ὀδόντος	ὀδοῦσι	συλλαβῆς ποιοῦσι
Ουντος	Πλακοῦς πλακοῦντος	πλακοῦσι	τὴν κλητικήν. Αἴας
Οψ οπος	Μέροψ μέροπος	μέροψι	αἴαντος, ὦ αἶαν,
Υν υνος	Φόρκυν φόρκυνος	φόρκυσι	τιμῆς, τιμῆντος, ὦ
Υγξ υγκος	Λάρυγξ λάρυγκος	λάρυγξι	τιμήν·
Υγκος	Λύγξ λυγκὸς	λυγξὶ	δ. Τὰ εἰς ις παρο-
Υξ υγος	Ὄρτυξ ὄρτυγος	ὄρτυξι	ξύτονα, καὶ εἰς ως
υκος	Δοίδυξ δοίδυκος	δοίδυξι	γενικῶς καὶ τὰ εἰς σ
υχος	Ὄνυξ ὄνυχος	ὄνυξι	λήγοντα μετὰ δι-
Υς εος	Ἡδὺς ἡδέος	ἡδέσι	φθόγγου· ἀφαιρέσει
εως	Πῆχυς χεως (α)	πήχεσι	γὰρ τοῦ σ τῆς ὀνο-
υντος	Φὺς φύντος	φῦσι	μαστικῆς ποιοῦσι
		Υς	τὴν

(α) Δωϊκ. πήχεων, ἀντὶ πηχέων.

Ἄρσεν.	Ὀνομ. Γεν.	Δοτ. Πληθ.	Περὶ κλητ.
Υς υος	Ἰχθὺς ἰχθύος	ἰχθύσι	τὴν κλητικὴν ὄφις
υρος	Μάρτυς μάρτυρος	μάρτυσι	ὦ ὄφι ἡδὺς ὦ ἡδύ
υδος	Νέηλυς νεήλυδος	νεήλυσι	βότρυς ὦ βότρυ·
Υνς υνθος	Τίρυνς τίρυνθος	τίρυνσι	βασιλεὺς ὦ βασιλεῦ
Υψ υβος	Χάλυψ χάλυβος	χάλυψι	παῖς ὦ παῖ· βοῦς
υπος	Γὺψ γυπὸς	γυψὶ	ὦ βοῦ πολὺν πούς
υφος	Κίνυψ κίνυφος	κίνυψι	καὶ ὁδούς, ὅθεν
Ὼν ονος	Ἡγεμὼν ἡγεμόνος	ἡγεμόσι	καὶ τὰ εἰς ους καὶ
ωνος	Ἀγὼν ἀγῶνος	ἀγῶσι	εἰς εις διὰ τοῦ ντ·
οντος	Γέρων γέροντος	γέρουσι	κλινόμενα διττὴν ἔ-
ωντος	Ξενοφῶν ξενοφῶντος	ξενοφῶσι	χουσι τὴν κλητικὴν
ουντος	Χρυσῶν χρυσοῦντος	χρυσοῦσι	ὦ πλακοῦ καὶ πλα
Ωξ ωγος	Κυαμότρωξ ωγος	κυαμότρωξι	κοῦν· ὦ χαρίεν·
ωκος	Ὁ Πτὼξ πτωκὸς	πτωξὶ	καὶ χαρίεν. (α)
Ωρ ορος	Ῥήτωρ ῥήτορος	ῥήτορσι	καὶ ἔτι τὸ Κλήμης·
ωρος	Ἰχὼρ ἰχῶρος	ἰχῶρσι	ὦ Κλήμη καὶ Ἄτ-
Ως ωος	Ἥρως ἥρωος	ἥρωσι	λας ὦ ἄτλα·
οτος	Γεγραφὼς φότος	γεγραφόσι	
ωτος	Ἔρως ἔρωτος	ἔρωσι	ε· Τὰ εἰς ω καὶ ως
Ωψ ωπος	Κύκλωψ κύκλωπος	κύκλωψι	θηλυκὰ εἰς οι ποι-

Τύποι Θηλυκῶν.

22 Λιξ αιγος	Ἡ Αἴξ τῆς αἰγὸς	αἰξὶ	οῦσι τὴν κλητικὴν
αικος	Καλλιγύναιξ αικος	λιγύναιξι	ἡ λητὼ ὦ λητοῖ·
Λις αιδος	Ἡ παις παιδὸς	παισὶ	ἡ αἰδὼς ὦ αἰδοῖ·
αιτος	Ἡ Δαὶς δαιτὸς	δαισὶ	ζ· Τὰ παροξύτονα
Αλς αλος	Ἡ Ἅλς τῆς ἁλὸς	ἁλσὶ	εἰς ωρ καὶ ων, ὅ-
Αλξ αλκος		ἁλξὶ	σα τρέπουσι τὸ ω-
Αξ ακος	Αὔλαξ αὔλακος	αὔλαξι	εἰς ο ἐπὶ τῆς γενι-
		Θηλυ-	κῆς, καὶ ἐν τῇ κλη-
			τικῇ τὸ Ὀμικρὸν
			ἔχουσιν· ὁ Ἕκτωρ
			τοῦ

(α) πλὴν τῶν μετοχῶν.

Θηλυκ.	Ὀνομ. Γεν.	Δοτ. Πληθ.	Κλητ.
Αρ αρος	Δάμαρ δάμαρος	μαρσι	τοῦ ἕκτορος ὦ ἕκτορ. ὁ ἐλεήμων τοῦ ἐλεήμονος ὦ ἐλεήμον· ὁ γέρων, ὦ γέρον (πλὴν τῶν μετοχῶν) καὶ σὺν τούτοις ὦ Ἄπολλον καὶ Πόσειδον· (ὅμως Ἀττικῶς λέγονται καθὼς καὶ ἡ Ὀνομαστική·)
Αρξ αρκος	Σάρξ σαρκὸς	σαρξὶ	
Ας αδος	Λαμπὰς λαμπάδος	λαμπάσι	
ατος	Ἡ Κρὰς κρατὸς		
αντος	Ἀκράγας ἀκράγαντος		
Ας ας	Γραῦς γραὸς	γραυσὶ	
Εψ εβος	Φλέψ φλεβὸς	φλεψὶ	
Εις ενος	Ἡ Κτεὶς κτενὸς	κτεσὶ	
εντος	Ὀπόεις ὀπόεντος	ὀπόεσι	
ειδος	Κλεὶς κλειδὸς	κλεισὶ	
ειρος	Χεὶρ χειρὸς	χερσὶ	
Ηγξ ηγκος	Ὕσπληξ ηγκος	ὑσπληγξὶ	Ἐξαιροῦνται ἔτι καὶ ὀκτώ τινα ἐκ τῶν εἰς ηρ, ὅτι εἰς ερ ποιοῦσι τὴν κλητικήν. πατὴρ, ἀνὴρ σωτὴρ θαὴρ μήτηρ θυγάτηρ, Δημήτηρ εἰνάτειρ. ὠπάτειρ τλ
Ηξ ηκος	Ἡ Χάληξ χάληκος	χαληξὶ	
εκος	Ἀλώπηξ ἀλώπεκος	ἀλώπεξι	
Ηρ ηρος	Ἡ Κὴρ τῆς κηρὸς	κηρσὶ	
ερος	Θυγάτηρ θυγατέρος	τράσι	
Ης ητος	Ὀσιότης ὁσιότητος	ὁσιότησι	
εος	Τριήρης τριήρεος	τριήρεσι	
Ην ηνος	Σειρὴν σειρῆνος	σειρῆσι	
ενος	Φρὴν φρενὸς	φρεσὶ	
Ιν ινος	Ἡ Ῥὶν καὶ ρὶς ρινὸς	ρισὶ	+ Ἡ δὲ πληθυντικὴ γενικὴ τῶν τεταρτοκλίτων. δισύλλαβος μὲν οὖσα περισσᾶται· μηνῶν, πλὴν τῆς πάντων. τρώων, δμώων, παίδων φώτων θώων, λάων, κράτων ὤτων, ὠδῶν, δένων
Ιξ ιγος	Μάστιξ μάστιγος	μάστιξι	
Ιξ ικος	Κύλιξ κύλικος	κύλιξι	
ιχος	Θρὶξ τριχὸς	θριξὶ	
Ιγξ ιγγος	Σφὶγξ σφιγγὸς	σφιγξὶ	
Ις ιδος	Ἐλπὶς ἐλπίδος	ἐλπίσι	
ιθος	Ὄρνις ὄρνιθος	ὄρνισι	
ιτος	Χάρις χάριτος	χάρισι	
Ως εος	Πόλις πόλιος πόλεως	λισι λεσι	

Θηλυκ.	Ὀνομ. Γεν.	Δοτ. Πληβ.	Κλητ.
Οξ ογος	Φλὸξ φλογὸς	φλοξὶ	νων, ὑπερδισύλλαβος δὲ οὖσα παροξύνεται. αἰάντων, πλὴν τῆς γυναικῶν καὶ τῆς γενικῆς τῶν συνῃρημένων, θρεῶν πόλεων.
Ους ουντος	Τραπεζοὺς οὔντος	ζουσι	
Οψ οπος	Ὄψ ὀπὸς	ὀψὶ	
Υν υνος	Ἡ Γόρτυν τυνος	γόρτυσι	
Υνς υνθος	Τίρυνς τίρυνθος	τίρυνσι	
Υξ υγος	Πτέρυξ πτέρυγος	ρυξι	
υκτος	νὺξ νυκτὸς	νυξὶ	
Υγξ υγγος	Λύγξ λυγγὸς	λυγξὶ	
Υς υδος	Χλαμὺς χλαμύδος	μύσι	Ἡ Γενικὴ καὶ δοτικὴ τοῦ ἑνικοῦ ἀριθμοῦ, καὶ ἡ δοτικὴ τοῦ πληθυντικοῦ, τῶν μονοσυλλάβων ὀνομάτων ὀξύνεται ποδὸς, ποδὶ, ποσὶ, χειρὸς χειρὶ χερσὶ +
υθος	Κόρυς κορυθος	ρυσι	
υος	Ὀφρὺς ὀφρύος	ὀφρῦσι	
Ω ος ους	Λητὼ λητόος τοῦς	τοῖς	
Ωλξ ολκός	Ἡ Ωλξ ὀλκὸς	ὀλξὶ	
Ων ονος	Τρυγὼν τρυγόνος	τρυγόσι	
ωνος	Σιδὼν σιδῶνος	σιδῶσι	
ωντος	Ἡ Κτήσιφὼν φῶντος	φῶσι	
Ωρ ορος	Ἀπάτωρ ἀπάτορος	ἀπάτορσι	
Ως ους ους	Αἰδὼς αἰδόος δοῦς	δοῖς	
Ωψ ωπος	Ἡ Ωψ τῆς ὠπὸς	ὀψὶ	Περὶ τοῦ πότε περισπᾶται ἡ λήγουσα. 2 Πᾶσα ὀνομαστικὴ καὶ αἰτιατικὴ ἔχουσα τὸν τόνον εἰς τὴν λήγουσαν. Ἐὰν ἔχῃ συναίρεσιν ἢ κρᾶσιν περισπᾶται· παῖς παῖς, νόος νοῦς ἀδελφιδέος. δοῦς· Ἀθηνᾶα. νᾶ. Ἑρμέας Ἑρμῆς. γέα. γῆ. κέαρ. κῆρ. ἀληθέα ἀληθῆ· πλὴν λητόα

Τυποι Ουδετέρων.

23 Α ατος	Βῆμα βήματος	βήμασι	
ακτος	Γάλα γάλακτος	γάλαξι	
Ν ανος	Μέλαν μελανος	μελασι	
αντος	Πᾶν παντὸς	πᾶσι	
Αρ ατος	Φρέαρ φρέατος	φρέασι	
Ας ατος	Κέρας κέρατος	κέρασι	
Εν εντος	Τέρεν τέρενος	τέρενσι	

	Ὀνομ·	Γεν·	Δοτ· Πληθ·	Κλητ·
	εντος	Χαρίεν χαρίεντος	χαρίεσι	λητώ· καὶ τῶν δυϊκ
Ες	εος	Ἀληθὲς ἀληθέος	ἀληθέσι	τὼ νόω· νώ· καὶ ὀ-
Ηρ	ηρος	Κῆρ κηρὸς	κηρσὶ	ϛέω, ὀϛώ· ι
Ι	ιδος	Φιλόπατρι πάτριδος	φιλοπάτρισι	Ἀσυναίρετος δὲ οὖ-
	ιθος	Φίλορνι φιλόρνιθος	φιλόρνισι	σα ὀξύνεται· πλὴν
	ινος	Τὶ τίνος	τίσι	τῶν μονοσυλ· πᾶς·
	εως	Σίνηπι σινήπεως	σινήπεσι	μῦς· σῦς· δρῦς· βοῦς
	ιτος	Μέλι μέλιτος	μέλισι	οὖς· πῦρ· πᾶν· σκῶρ
Υ	υος	Δίκτυ δίκτυος	δικτύοις (ἐν	φῶς· ναῦς· γραῦς· δᾶς
	εως	Πῶϋ πώεος	τῇ γ΄.)	Καὶ ἐκ τῶν δισυλ·
Ον	οντος	Γράφον γράφοντος	γράφουσι	ἰχθῦς· ὀσφῦς· ὀ-
Ον	ονος	Μεῖζον μείζονος	μείζοσι	φρῦς· Ἀπφῦς·
Ος	εος	Τεῖχος τείχεος	τείχεσι	Καὶ τῶν Ἀντωνυμ·
Ουν	ουντος	Τυποῦν τυποῦντος	τυποῦσι	ἡμεῖς σφεῖς, ἡμᾶς
	οδος	Τρίπουν τρίποδος	τρίπουσι	σφᾶς· καὶ εἷς ἀριθ·
Ους	ωτος	Οὖς ὠτὸς	ὠσὶ	Πᾶσα ὀνομαστικὴ
Ορ	ορος	Ἄορ ἄορος	ἄορσι	καὶ αἰτιατ· τῶν κλι-
Υν	υντος	Ζευγνῦν ζευγνῦντος	ζευγνῦσι	νομένων ἀφαιρέσει
Υρ	υρος	Πῦρ πυρὸς		τοῦ σ· Θωμᾶς, θω-
Υ	ατος	Δόρυ δόρατος	δόρασι	μᾶν· Μωσῆς μωσῆν
Ων	ωντος	Τὸ Βοῶν βοῶντος	βοῶσι	Ἰησοῦς Ἰησοῦν· Καὶ
				Πᾶσα γεν· καὶ δοτ·

ὁταν ἔχῃ μακρὰν τὴν λήγουσαν, καὶ τὸν τόνον ἐν αὐτῇ περισπᾶται· πλὴν τοῦ ἐμοὶ σοὶ, σφίν· καὶ τῆς γενικῆς τῶν Ἀττικῶν τοῦ νεώ. Πᾶσα λέξις εἰς ευ καὶ ου λήγουσα περισπᾶται· Ἱερεῦ, Ἰησοῦ, καὶ φεῦ πανταχοῦ· πλὴν Ἰοὺ, ἰού, καὶ σύ·

Τύπος Τῶν Ὀνομάτων τὰ ὁποῖα καλοῦνται Συνῃρημένα·

Τὰ Συνῃρημένα καλούμενα ὀνόματα, καὶ αὐτὰ τῆς Τετάρτης Κλίσεως τῶν Περιττοσυλλάβων εἶναι κατὰ τὰς ἀσυναιρέτους πτώσεις· Δη-

μοσθέ-

μοσθένης, δημοσθένεος· καὶ σθένους· Ὄφις, ὄφεως, ὄφεϊ, καὶ ὄ- φει· λητώ λητόος καὶ λητοῦς· τεῖχος τείχεος καὶ τείχους κλ· Ὅμως ἢ τὰ δύω φωνήεντα συναιροῦνται (ἤγουν ἑνοῦνται) εἰς μίαν δίφθογγον τείχεϊ, τείχει· κλ· καὶ τοῦτο λέγεται Συναίρεσις· Ἢ κιρνῶνται (ἤγουν ἀνακατώνονται) τὰ δύο φωνήεντα εἰς ἄλλο τι φωνῆεν διαφορετι- κόν· καὶ τοῦτο λέγεται κρᾶσις· τείχεα, τείχη, ἀληθέα, ἀληθῆ· +

Ἡμεῖς ὅμως πρὸς εὐκολίαν τῶν παίδων, γράφομεν μόνον τὰς συνῃρη- μένας πτώσεις, οὐχὶ δὲ καὶ τὰς ἀσυναιρέτους, συνηθισμένας εἰς τοὺς Ποιητάς· Γίνεται δὲ τοῦτο ἢ εἰς ὅλας τὰς πτώσεις, καὶ λέγονται Ὁ- λοπαθῆ· ἢ εἰς μερικὰς πτώσεις μόνον, καὶ λέγονται Ὀλιγοπαθῆ· +

Ὁ Δημοσθένης τοῦ δημοσθένους· τῷ δημοσθένει τὸν δημοσθένην ὦ δημόσθενες· Οἱ δημοσθένεις τῶν δημοσθενῶν· τοῖς δημοσθένεσι τοὺς δημοσθένεις, ὦ σθένεες· (δυϊκ· τὼ δημοσθένη· τοῖν δημοσθε- νοῖν· ὦ δημοσθένη·

Ὁ Ἡρακλῆς τοῦ ἡρακλέους (α) τῷ ἡρακλεῖ· τὸν ἡρακλῆ· καὶ κλῆν· ὦ ἡράκλες· Οἱ ἡρακλεῖς· τῶν ἡρακλέων, τοῖς ἡρακλέσι, τοὺς ἡ- ρακλέας (κλεῖς) ὦ ἡρακλεῖς· (δυϊκ· τὼ ἡρακλῆ· τοῖν ἡρακλοῖν· ὦ ἡρακλῆ·)

Κοινὸν, Ὁ Ἀληθὴς· τοῦ ἀληθοῦς· τῷ ἀληθεῖ· τὸν ἀληθῆ· ὦ ἀληθές Οἱ Ἀληθεῖς· τῶν ἀληθῶν· τοῖς ἀληθέσι· τοὺς ἀληθεῖς· ὦ ἀληθεῖς· (δυϊκ· Τὼ Ἀληθῆ· τοῖν ἀληθοῖν· ὦ ἀληθῆ·)

Ὁ Εὐφυὴς, τοῦ εὐφυοῦς, τῷ εὐφυεῖ, τὸν εὐφυᾶ, ὦ εὐφυὲς, κλ· ὁμοίως·

Ὁ Ὄφις, τοῦ ὄφιος, ὄφεως, τῷ ὄφει, τὸν ὄφιν, ὦ ὄφι καὶ ὄφις Ἀττικῶς Οἱ Ὄφεις, τῶν ὀφέων, τοῖς ὄφισι, ὄφεσι· τοὺς ὄφεις, ὦ ὄφεις· (δυϊκ· Τὼ ὄφιε, τοῖν ὀφίοιν, καὶ ὄφεων, ὦ ὄφιε· Μ

Ὁ Σιμόεις, μοῦς· τοῦ σιμοῦντος, τῷ σιμοῦντι, τὸν σιμοῦντα, ὦ σιμοῦ Οἱ Σιμοῦντες, τῶν σιμούντων, τοῖς σιμοῦσι, τοὺς σιμοῦντας, ὦ σιμοῦντες

βοῦς

Τα ἀσυναίρετα· σθένεος· σθένεϊ· σθένεα· σθένεες· σθενέων· σθένεας· οὕτω ἐπὶ τὸ ἀληθής, καὶ εὐφυής·

(α) Λέγεται καὶ Ἡρακλέος καὶ Σοφοκλέος κλέεϊ, κλεῖ, κλέεα, κλέα· Τὰ ἐπίθετα σῴουσι τὴν αἰτιατ· εἰς η· Τὰ δὲ Κύρια εἰς η καὶ ην· Τὰ δὲ καθαρακαταληκτα εἰς α

Τὰ ἀσυναίρετα· ὄρεϊ· ὄρεες· σιμόεντος σιμόεντι· σιμόεντα κλ·

βοῦς

Ὁ Βοῦς, τοῦ βοός, τῷ βοΐ, τὸν βοῦν, ὦ βοῦ· οἱ βόες καὶ βοῦς, τῶν βοῶν, τοῖς βουσὶ, τοὺς βοῦς, ὦ βόες. (δυ. τὼ βόε, τοῖν βοοῖν, ὦ βόε)

Ὁ Βασιλεὺς, τοῦ βασιλέως, τῷ βασιλεῖ, τὸν βασιλέα, ὦ βασιλεῦ· Οἱ Βασιλεῖς, τῶν βασιλέων, τοῖς βασιλεῦσι, τοὺς βασιλείς, ὦ βασιλεῖς (δυ. Τὼ Βασιλῆ, τοῖν βασιλέοιν, ὦ βασιλῆ·)

Ὁ Ἡδὺς τοῦ ἡδέος· τῳ ἡδεῖ· τὸν ἡδύν, ὦ ἡδύ· Οἱ ἡδεῖς, τῶν ἡδέων Τοῖς ἡδέσι, τοὺς ἡδεῖς, ὦ ἡδεῖς. (δυ. τὼ ἡδέε, τοῖν ἡδέοιν, ὦ ἡδέε)

Ὁ Ἰχθῦς, τοῦ ἰχθύος, τῷ ἰχθύϊ, τὸν ἰχθῦν, ὦ ἰχθύ· οἱ ἰχθῦς, τῶν ἰχθύων, τοῖς ἰχθύσι, τοὺς ἰχθύας, χθῦς, ὦ (δυ· τὼ ἰχθύε, τοῖν ἰχθύοιν, ὦ)

Ἡ Τριήρης, τῆς τριήρους, τῇ τριήρει· τὴν τριήρη, ὦ τριήρης· αἱ τριήρεις, τῶν τριηρῶν, ταῖς τριήρεσι, τὰς τριήρεις, ὦ· (Δυϊκ· τὰ τριήρη, ταῖν τριήροιν, ὦ·)

Ἡ Πόλις, τῆς πόλιος, πόλεως, τῇ πόλει, τὴν πόλιν, ὦ πόλι· αἱ πόλεις, τῶν πόλεων, ταῖς πόλεσι, τὰς πόλεις, ὦ πόλεις· (τὰ πόλη τῶν πόλεων, ὦ πόλη·)

Ἡ Λητώ· τῆς λητοῦς, τῇ λητοῖ, τὴν λητώ, ὦ λητοῖ· αἱ λητοὶ, τῶν λητῶν, ταῖς λησὶς, τὰς λητοὺς, ὦ λητοί.

Ἡ Αἰδὼς, τῆς αἰδοῦς, τῇ αἰδοῖ, τὴν αἰδώ· ὦ αἰδοῖ· αἱ αἰδοὶ τῶν αἰδῶν, ταῖς αἰδοῖς, τὰς αἰδοὺς, ὦ· (δυ· τὰ αἰδώ· ταῖν αἰδοῖν, ὦ αἰδοί·)

Ἡ Ὀφρῦς, τῆς ὀφρύος, τῇ ὀφρύϊ, τὴν ὀφρύα καὶ ὀφρῦν, ὦ ὀφρῦς· αἱ ὀφρύες, τῶν ὀφρύων, ταῖς ὀφρύσι, τὰς ὀφρύας· φρῦς· ὦ ὀφρύες, φρῦς· (δυϊκ· τὰ ὀφρύε, ταῖν ὀφρύοιν, ὦ ὀφρύε·)

Ὁ Φθόϊς, τοῦ φθόϊτος, τῷ φθόϊδι, τὸν φθόϊδα, καὶ φθοῖν, ὦ φθοῖ, ις· Οἱ φθόϊδες, φθοῖς, τῶν φθόϊδων, τοῖς φθόϊσι, τοὺς φθόϊδας, φθοῖς· ὦ (δυϊκ· τὼ φθόϊδε, τοῖν φθοΐδοιν, ὦ·)

Τὸ Ἀληθὲς, τοῦ ἀληθοῦς· τῷ ἀληθεῖ· τὸ ἀληθές, ὦ ἀληθές· Τὰ Ἀληθῆ, τῶν ἀληθῶν, τοῖς ἀληθέσι· τὰ ἀληθῆ, ὦ ἀληθῆ· (δυϊκ· τὼ ἀληθῆ, τοῖν ἀληθοῖν, ὦ ἀληθῆ·

(α)

βόα· βόες (εὖχρ) βόες βασιλεῖ βασιλέος βασιλέας ἡδεῖ ἡδέα ἡδέες, ἡδέας ἰχθύα ἰχθύες ἰχθύας τριήρεως τριήρεϊ τριήρεες τριήρεας· πόλεϊ πόλεες πόλεας λητόος· λητόϊ λητόα· αἰδόος· αἰδόϊ· αἰδόα·

(α) Τὸ Κακοήθες, τοῦ κακοήθους, τῷ κακοήθει, τὸ κακόηθες, ὦ κακόηθες, τὰ κακοήθη, τῶν κακοήθων, τοῖς κακοήθεσι, τὰ κακοήθη ὦ ήθη· (δυ· τὼ κακοήθεε, τοῖν κακοηθέοιν.)

Τὸ Τεῖχος, τοῦ τείχους, τῷ τείχει, τὸ τεῖχος, ὦ τεῖχος, τὰ τείχη τῶν τειχῶν, τοῖς τείχεσι, τὰ τείχη, ὦ τείχη· (δυ· τὼ τείχη, τοῖν τειχοῖν ὦ)

Τὸ Κρέας, τοῦ κρέατος, τῷ κρέατι, τὸ κρέας, ὦ κρέας, τὰ κρέατα, τῶν κρεάτων, τοῖς κρέασι, τὰ κρέατα, ὦ ατα· (δυ· τὼ κρέατε, τοῖν κρεάτοιν, ὦ)

Τὸ Ἡδὺ, τοῦ ἡδέος, τῷ ἡδεῖ, τὸ ἡδὺ, ὦ ἡδύ, τὰ ἡδέα, τῶν ἡδέων τοῖς ἡδέσι, τὰ ἡδέα, ὦ· (δυ· τὼ ἡδέε, τοῖν ἡδέοιν, ὦ ἡδέε·)

Συνηρημένα τῆς ά· β'· καὶ γ'· Κλίσεως τῶν ἰσοσυλλάβων.

Ὁ Ἑρμέας ἑρμῆς, τοῦ ἑρμέου μοῦ, τῷ ἑρμέᾳ μῇ· τὸν ἑρμέαν μῆν· ὦ ἑρμῆ, οὕτω καὶ Ἀπελλέας λῆς, καὶ ποδέας ποδῆς·

Ἡ Μνάα μνᾶ, τῆς μνάας μνᾶς, τῇ μνάᾳ μνᾷ, τὴν μνάαν μνᾶν, ὦ μνᾶ· ἡ γέα γῆ, τῆς γέας γῆς, τῇ γέᾳ γῇ, τὴν γέαν γῆν, ὦ γέα γῆ

Ὁ Νόος νοῦς, τοῦ νόου νοῦ, τῷ νόῳ νῷ, τὸν νόον νοῦν, ὦ νόε νοῦ οἱ νόοι νοῖ, τῶν νόων νῶν, τοῖς νόοις νοῖς, τοὺς νόους νοῦς· (δυϊκ· τὼ νόω νώ· τοῖν νόοιν νοῖν)

Οὕτω καὶ ὁ πλόος πλοῦς· καὶ ῥόος ῥοῦς· καὶ διπλόος, καὶ τριπλόος, πλοῦς· ὧν καὶ τὰ σκλυκὰ καὶ οὐδέτερα συναιροῦνται, ἡ διπλόα, διπλῆ, τὸ διπλόον πλοῦν· τὸ ὀξέον ὀξοῦν· τὰ ὀξέα ὀξᾶ· κλ·

Οὕτω καὶ χρύσεος χρυσοῦς, χρύσεα χρυσῆ· χρύσεον χρυσοῦν·

Περὶ Ἀνωμάλων Ὀνομάτων.

27 Ἀνώμαλα καλοῦνται, ὅσα οὐ σχηματίζονται κατὰ τοὺς εἰρημένους

(α) Τὸ οὐδέτερον τοῦ ὀξυτόνου ἀρσενικοῦ, γίνεται καὶ αὐτὸ ὀξύτονον ἀληθὲς, ἀλ· Τοῦ δὲ παροξυτόνου, γίνεται καὶ παροξύτονον, καὶ προπαροξύτ εὐώδης, ὦδες· κακοήθης, κακόηθες, τῶν ὑπόϊων καὶ ἡ γενικὴ ἐν παντὶ γένει, γίνεται παροξύτονος κακοήθων, ἀνάντων, καὶ ἔτι ἀνθέων, καὶ ὀρέων.

(β) Σημείωσαι δὲ ὅτι τὰ τοιαῦτα ὅταν γένωσι σύνθετα, ἀναβιβάζουσι τὸν τόνον· ὁ κακόνους, ὁ περίπλους, περίπλου, περίπλῳ, περίπλουν.

τύπους. ἔχουσι δὲ ἀνωμαλίας. ἢ κατὰ τὴν κλίσιν, μεταβαίνοντα ἀπὸ κλίσεως εἰς κλίσιν. ἢ κατὰ πλεονασμὸν πτώσεως, ἢ κατὰ ἀποκοπήν.

Ὁ Μωϋσῆς τοῦ μωϋσῆ καὶ μωϋσέως, τῷ μωϋσῇ τὸν μωϋσέα καὶ μωϋσῆν

Ὁ Ζεὺς τοῦ διὸς, τῷ διΐ. τὸν δία (καὶ ζῆνα ποιητ.) ὦ ζεῦ, οἱ ζῆνες

Ὁ Μέγας τοῦ μεγάλου, τῷ μεγάλῳ. τὸν μέγαν, ὦ μέγα.

Τὸ μέγα τοῦ μεγάλου, τῷ μεγάλῳ, τὸ μέγα, ὦ μέγα.

	Τίθεσθε, τιθέσθωσαν.	Ἵστασθε, ἱστάσθωσαν.	Δίδοσθε, διδόσθωσαν.
	(δ) Τίθεσθον, τιθέσθων.	(δ) Ἵστασθον, ἱστάσθων.	Δίδοσθον, διδόσθων.
Μέσ. ἀόρ.	Θέσο, καὶ θοῦ, θέσθω.	στῆσαι, στησάσθω.	Δόσο, καὶ δοῦ, δόσθω.
Παρ.	Τέθεισο, τεθείσθω.	Ἕστασο, ἑστάσθω.	Δέδοσο, δεδόσθω.
Αόρ.	Τέθητι, τεθήτω.	Στάθητι, σταθήτω.	Δόθητι, δοθήτω.

Εὐκτι-

(α) Τέθειμαι βοιωτικὸν, τὸ γὰρ κοινὸν, θῶ, θῇς, θῇ, θῶμεν, τέθεμαι ἄχρηστον.

Εὐκτική.

Ἑν.	Τιθείμην, τίθειο, τίθειτο.	Ἰσαίμην, ἴσαιο, ἴσαιτο.	Διδοίμην, δίδοιο, δίδοιτο.
	Τιθείμεθα, τίθεισθε, τίθειντο.	Ἰσαίμεθα, ἴσαισθε, ἴσαιντο.	Διδοίμεθα, δίδοισθε, δίδοιντο.
	(δ) Τιθείμεθον, τίθεισθον, τιθείσθην.	(δ) Ἰσαίμεθον, ἴσαισθον, ἰσαίσθην	(δ) Διδοίμεθον, δίδοισθον, διδοίσθην.
Μέσ. μέλ.	Θησοίμην, θήσοιο, θήσοιτο.	Στησοίμην, στήσοιο στήσοιτο.	Δωσοίμην, δώσοιο, δώσοιτο.
Μέσ. Ἀ ὁρ. β.	Θείμην, θεῖο θεῖτο.		Δοίμην, δοῖο, δοῖτο.
Παρ.	Τεθείμην, τεθεῖο, τεθεῖτο.	Ἑσαίμην, ἑσαῖο, ἑσαῖτο.	Δεδοίμην, δεδοῖο, δεδοῖτο.
Μετ' ὀλ. μέλ.	Τεθεισοίμην, τεθείσοιο, σοιτο.	Ἑσασοίμην, ἑσάσοιο, ἑσάσοιτο.	Δεδοσοίμην, δεδόσοιο, δεδόσοιτο.
Ἀ ὁρ.	Τεθείην, τεθείης, τεθείη.	Σταθείην, σταθείης, σταθείη.	Δοθείην, δοθείης, δοθείη.
Μέλ.	Τεθησοίμην, τεθήσοιο, τεθήσοιτο.	Σταθησοίμην, σταθήσοιο, σταθήσοιτο.	Δοθησοίμην, δοθήσοιο, δοθήσοιτο.

Ὑποτακτική. Ἐὰν, ἤ ἵνα.

Ἑν.	Τιθῶμαι, τιθῇ, τιθῆται.	Ἰσῶμαι, ἰσᾷ, ἰσᾶται.	Διδῶμαι, διδῷ, διδῶται.
	Τιθώμεθα, τιθῆσθε τιθῶνται.	Ἰσώμεθα, ἰσᾶσθε, ἰσῶνται.	Διδώμεθα, διδῶσθε διδῶνται.
	(δ) Τιθώμεθον, τιθῆσθον.	(δ) Ἰσώμεθον, ἰσᾶσθον.	(δ) Διδώμεθον, διδῶσθον.

Μέσ. ἀόρ.

Μέσ. ἀόρ.	Θῶμαι, θῇ, θῆται.	Στήσωμαι, στήσῃ, στήσηται.	Δῶμαι, δῷ, δῶται.
Παρ,	Τεθῶμαι, τεθῇ, τεθῆται.	Ἑστῶμαι, ἑστᾷ, ἑστᾶται.	Δεδῶμαι, δεδῷ, δεδῶται.
Λ'όρ.	Τεθῶ, τεθῇς, τεθῇ.	Σταθῶ, σταθῇς, σταθῇ.	Δοθῶ, δοθῇς, δοθῇ.

Ἀπαρέμφατος.

Ἑν.	Τίθεσθαι.	Ἵασθαι.	Δίδοσθαι.
Μέσ. μέλ.	Θήσεσθαι.	στήσεσθαι.	Δώσεσθαι.
Μέσ. ἀόρ. β.	Θέσθαι.		Δόσθαι.
Παρ.	Τεθεῖσθαι.	Ἑστᾶσθαι.	Δεδόσθαι.
Μετ' ὀλ. μέλ.	Τεθείσεσθαι.	Ἑστάσεσθαι.	Δεδόσεσθαι.
Ἀ ὁρ.	Τεθῆναι.	Σταθῆναι.	Δοθῆναι.
Μέλ.	Τεθήσεσθαι.	Σταθήσεσθαι.	Δοθήσεσθαι.

Μετοχή.

Ἑν.	Ὁ Τιθέμενος, ἡ τιθεμένη, τὸ τιθέμενον.	Ὁ Ἱσάμενος, ἡ ἱσαμένη, τὸ ἱσάμενον.	Ὁ Διδόμενος, ἡ διδομένη, τὸ διδόμενον.
Μέσ. μέλ.	Ὁ Θησόμενος, ἡ θησομένη, τὸ θησόμενον.	Ὁ Στησόμενος, ἡ στησομένη, τὸ στησόμενον.	Ὁ Δωσόμενος, ἡ δωσομένη, τὸ δωσόμενον.
Μέσ. ὁρ. β.	Ὁ Θέμενος. ἡ θεμένη, τὸ θέμενον,	Ὁ στησάμενος, ἡ στησαμένη, τὸ στησάμενον.	Ὁ Δόμενος, ἡ δομένη, τὸ δόμενον.
Μετ' ὀλ. μέλ.	Ὁ Τεθεισόμενος ἡ τεθεισομένη, τὸ σόμενον.	Ὁ Ἑσασόμενος, ἡ ἑσασομένη, τὸ ἑσασόμενον.	Ὁ Δεδωσόμενος, ἡ δεδωσομένη, τὸ δεδωσόμενον.

Ἀ ὁρ

Αὁρ. Ὁ Τεθεὶς, ἡ τεθεῖσα, τὸ τεθέν.	Ὁ Σταθεὶς, σταθεῖσα, τὸ σαθέν.	Ὁ Δοθεὶς, ἡ δοθεῖσα, τὸ δοθέν.
Μέλ. Ὁ Θησόμενος, ἡ θησομένη, τὸ θησόμενον.	Ὁ Σταθησόμενος, ἡ σαθησομένη, τὸ σαθησόμενον.	Ὁ Δοθησόμενος, ἡ δοθησομένη, τὸ δοθησόμενον.

Ὁ Παρὼν Τύπος γίνεται ἀπὸ βαρυτόνου εἰς Ῡω.

Ζευγνύω, Ζεύγνυμι. Φύω, Φῦμι.

Ἐν. Ζεύγνυμι, ζεύγνυς, ζεύγνυσι. ζεύγνυμεν, ζεύγνυτε, ζευγνῦσιν, Ἀττ. καὶ Ἰωνικ. ζευγνύασι. (δ) Ζεύγνυτον, ζεύγνυτον.

Παρατ. Ἐζεύγνυν, ἐζεύγνυς, ἐζεύγνυ. ἐζεύγνυμεν, ἐζεύγνυτε, ἐζεύγνυσαν (δ) Ἐζεύγνυτον, ἐζευγνύτην, οἱ δὲ ἄλλοι χρόνοι ἐξέλιπον. (α)

Προσακτ. Ζεύγνυθι ζευγνύτω. Ἀπαρ. Ζευγνῦναι.
Μετοχ. Ὁ Ζευγνὺς ἡ ζευγνῦσα τὸ ζευγνύν.

Τοῦ Δευτέρου Τύπου. Ὁριστικά.

Ἐν. Ζεύγνυμαι ζεύγνυσαι ζεύγνυται, ζευγνύμεθα ζεύγνυσθε ζεύγνυνται (δ) Ζευγνύμεθον ζεύγνυσθον ζεύγνυσθον.

Παρατ. Ἐζευγνύμην ἐζεύγνυσο ἐζεύγνυτο, ἐζευγνύμεθα, ἐζεύγνυσθε, ἐζεύγνυντο. (δ) Ἐζευγνύμεθον ἐζευγνύσθην.

Προσακτ. Ζεύγνυσο ζευγνύσθω, ζεύγνυσθε ζευγνύσθωσαν. (δ) Ζεύγνυσθον ζευγνύσθων.

Ἀπαρ. Ζεύγνυσθαι. Μετοχ. Ὁ Ζευγνύμενος, ἡ ζευγνυμένη, τὸ ζευγνύμενον.

Ὑπαρ

(α) Ὑπερδισύλλαβα μὲν ὄντα, μέχρι Παρατατικοῦ μόνον κλίνονται, δισύλλαβα δὲ ὄντα, ἔχουσι καὶ δεύτερον Ἀόριστον, ὁμόφωνον τῷ Παρατ. φύω, φῦμι. Παρατ. καὶ Ἀόρ. β'. ἔφυν, δύω, δῦμι, ἔδυν.

Ὑπαρκτικὸν Ῥῆμα καλεῖται τὸ παρόν.

Ἐν Εἰμὶ εἶ, ἐστι, ἐσμὲν, ἐστὲ, εἰσί. (δ) Ἐστὸν, ἐστόν.

Παρατ. καὶ παρ. Ἦν, ἦς, ἦ. ἦσθα, καὶ ἦν. ἦμεν, ἦτε, ἦσαν. (δ) Ἦτον. ἦτον.

Ὑποτακτ. Ἐὰν ὦ, ἦς, ἦ. ὦμεν, ἦτε, ὦσι. ἦτον, ἦτον.
Ἀπαρ. Εἶναι. Μέλ. ἔσεσθαι. Μετοχ. ὁ ὤν, ἡ οὖσα, τὸ ὄν.

Εἶμι τὸ πορεύομαι. Ὁριστικά.

Ἐν. Εἶμι, εἶς, καὶ εἶ, εἶσι, ἴμεν, ἴτε, ἴσι, καὶ ἴασι. ἴτον, ἴτον.
Παρατ. Εἶν, εἶς, εἶ, ἴμεν, ἴτε, ἴσαν, καὶ ἔσαν. ἴτον, ἴτην.
Παρακ. Εἶκα, εἶκας, εἶκεν, εἴκαμεν, εἴκατε, εἴκασι. εἴκατον, εἴκατον.
μέσ. Παρ. Εἶα, εἶας, εἶε, εἴαμεν, εἴατε, εἶασι, εἴατον, εἴατον.
καὶ τροπ. Ἦα, ἦας, ἦε, ἦαμέν, ἦατε, ἦασι. ἦατον, ἦατον.
καὶ διαλ. Ἧα, ἧας, ἧε, Ὑπερσ. εἴκειν, εἴκεις, εἴκει. καὶ Μέσ. ἦειν, ἦεις, ἦει.
Ἀόρ. Ἶον, ἶες, ἶε, ἴεμεν, ἶετε, ἶεσαν. ἶετον, ἰέτην.

Προσακτικά.

Ἐν Ἶθι, καὶ εἶ, εἴτω, ἴτε, ἴτωσαν. ἴτον, ἴτων.

Ἀόρ.

Α'όρ. β Ἶε, ἰέτω, ἵετε, ἰέτωσαν. ἵετον, ἰέτων.

Εὐκτικά.

Ε'ν. Εἵην, εἵης, εἵη, εἵημεν, εἵητε, εἵησαν. εἵητον, εἰήτην.
Α'όρ. β. Ἴοιμι, ἴοις, ἴοι, ἴοιμεν, ἴητε, ἴησαν. ἴητον, ἰοίτην.

Ὑποτακτικά.

Εν. Ἐὰν ὦ, ἧς, ἧ. Ἀόρ. ἐὰν ἶω, ἴῃς, ἴῃ. Ἀπαρ. ἐν- εἶναι.

Μετοχή.

Ε'ν. Ὁ Ἰών, ἡ ἰοῦσα, τὸ ἰόν. (καὶ Θετικὸν ἐπίῤῥημα ἰτέον.

Ἵημι Δασυνόμενον, τὸ ᾧεμπω.

Ὁριστικά.

Ε'ν. Ἵημι, ἵης, ἵησι, ἵεμεν, ἵετε, ἱεῖσι κοινῶς, καὶ ἱᾶσιν Ἀττ. καὶ ἱέασι Ποιητικῶς. ἵετον, ἵετον.
Παρατ. Ἵην, ἵης, ἵη. ἵεμεν, ἵετε, ἵεσαν. ἵετον, ἱέτην.
Παρ. Εἶκα, εἵκας, εἶκεν. εἴκαμεν, εἵκατε, εἵκασι. εἵκατον, εἵκατον.
Υ'περσ. Εἵκειν, εἵκεις, εἵκει. Ἀόρ. ἧκα, ἧκας, ἧκε. καὶ Ποιητ. ἕηκα, ἕηκας, ἕηκε.
Α'όρ. Ἧν, ἧς, ἧ, ἕμεν, ἕτε, ἕσαν. Μέλ. ἥσω, ἥσεις, ἥσει.

Προστακτικά.

Ε'ν. Ἶεθι, ἱέτω. ἵετε, ἱέτωσαν, ἵετον, ἱέτων.
Παρ. Εἶκε, εἱκέτω, εἵκετε, εἱκέτωσαν. εἵκετον, εἱκέτων,
Α'όρ. β. Ἕς, ἕτω, ἕτε, ἕτωσαν, ἕτον, ἕτων.

Εὐκτικά.

Ε'ν. Ἱείην, ἱείης, ἱείη, ἱείημεν, ἱείητε, ἱείησαν. ἱείητον, ἱειήτην.
Παρ. Εἶκοιμι, εἶκοις, εἶκοι. Ἀόρ. β. εἵην, εἵης, εἵη, εἵημεν, εἵητε, εἵησαν, καὶ εἶεν, εἵητον, εἱήτην, Μέλ. ἥσοιμι, ἥσοις, ἥσοι.

Ὑποτακ-

Ὑποτακτικά.

Ε'ν. Ἐὰν Ἰῶ, ἰῇς, ἰῇ, ἐὰν ἰῶμεν, ἰῆτε, ἰῶσιν, ἰῆτον, ἰῆτον.
Παρ. Ἐὰν Εἶκω, εἵκῃς, εἵκῃ, Ἀόρ. β. ἐὰν ὦ, ἧς, ἧ, ἐὰν ὦμεν, ἦτε, ὦσι, ἦτον, ἦτον,

Ἀπαρέμφατα.

Ε'ν. Ἶέναι.
Παρ. Εἰκέναι.
Α'όρ. β. Εἶναι.
Μέλ. ά. Ἥσειν.

Ε'ν. Ὁ Ἰείς, ἡ ἰεῖσα, τὸ ἰέν. Παρακ. ὁ εἰκώς, ἡ εἰκεῖα, τὸ εἰκός.
Α'όρ. β. Ὁ Εἷς, ἡ εἶσα, τὸ ἕν.

Ὁριστικά. Παθητικά.

Ε'ν. Ἵεμαι, ἵεσαι, ἵεται, ἱέμεθα, ἵεσθε, ἵενται, ἱέμεθον, ἵεσθον.
Παρατ. Ἱέμην, ἵεσο, ἵετο, ἱέμεθα, ἵεσθε, ἵεντο, ἵεσθον, ἱέσθην.
Παρ. Εἷμαι, εἶσαι, εἶται. εἵμεθα, εἶσθε, εἶνται. εἵμεθον, εἶσθον, εἶσθον.
Μετ' ὀλ. μέλ. Ἐσομαι, εἴσῃ, εἴσεται. Ὑπερσ. εἵμην, εἶσο, εἶτο. εἵμεθα, εἶσθε, εἶνται. εἵμεθον, εἶσθον. εἰσθην.
Α'όρ. Ἕθην, ἕθης, ἕθη, ἕθημεν, ἕθητε, ἕθησαν. ἕθητον, ἑθήτην καὶ εἵθην, εἵθης, εἵθη. ὅθεν ἀφέθην, καὶ ἀφείθην, ης. η.
Μέλ. Ἑθήσομαι, ἑθήσῃ, ἑθήσεται.
Μέσ. ἀόρ. ά. Ἡκάμην, ἥκασο, καὶ ἧκω, ἥκατο. ἡκάμεθα, ἥκασθε, ἥκαντο. ἡκάμεθον, ἡκασθον, ἡκάσθην.
Μέσ. ἀόρ. β. Ἕμην, ἕσο, ἕτο, ἕμεθα, ἕσθε, ἕντο, ἕμεθον, ἔσθον, ἐσθην.
Μέσ. μέλ. Ἥσομαι, ἥσῃ, ἥσεται.

Προστακτικά.

Ε'ν. Ἵεσο, καὶ ἵου, ἱέσθω. ἵεσθε, ἱέσθωσαν. ἵεσθον, ἱέσθων.

Παρ.

Παρ. Εἶσο, εἴσθω, εἶσθε, εἴσθωσαν, καὶ εἴσθων. εἶσθον, εἴσθων.
Α᾽όρ. ά. Ἔθητι ἐθήτω, ἔθητε ἐθήτωσαν. ἔθητον ἐθήτων.
Μέσ. ἀόρ. ά. Ἧκε ἡκάσθω, ἧκασθε ἡκάσθωσαν. ἧκασθον ἡκάσθων.
Μέσ. ἀόρ. β. Ἔσο, καὶ οὗ ἔσθω, ἔσθε, ἔσθωσαν. ἔσθον, ἔσθων.

Εὐκτικά.

Ε᾽ν. Ἰείμην, ἰεῖο, ἰεῖτο. ἰείμεθα, ἰεῖσθε, ἰεῖντο. ἰείμεθον, ἰεῖσθον, ἰείσθων.
Παρακ. Εἵμην, εἷο, εἷτο. εἵμεθα, εἶσθε, εἷντο. εἵμεθον, εἶσθον, εἴσθην.
Μετ᾽ ὀλ. μέλ. Εἰσοίμην, εἶσοιο, εἶσοιτο. Ἀόρ. ἐθείην, ἐθείης, ἐθείη.
Μέλ. ά. Ἐθησοίμην, ἐθήσοιο, ἐθήσοιτο.
Μέσ. μέλ. Ἡσοίμην, ἧσοιο, ἧσοιτο.

Ὑποτακτικά.

Ε᾽ν. Ἐὰν ἰῶμαι, ἰῇ, ἰῆται. ἐὰν ἰώμεθα, ἰῆσθε, ἰῶνται. ἐὰν ἰώμεθον, ἰῆσθον, ἰῆσθον.
Παρακ. Ἐὰν εἰῶμαι, εἰῇ, εἰῆται. Ἀόρ. ἐὰν ἐθῶ, ἐθῇς, ἐθῇ.
Μέσ. ἀόρ. ά. Ἐὰν ἧκωμαι, ἧκῃ, ἧκηται. Μέσ. ἀόρ. β. ἐὰν ὦμαι, ᾖ, ἧται.

Ἀπαρέμφατα.

Ε᾽ν. Ἶεσθαι.
Παρακ. Εἶσθαι.
Μετ᾽ ὀλ. μέλ. Εἰσεσθαι.
Α᾽όρ. ά. Ἐθῆναι.
Μέλ. α. Ἐθήσεσθαι.
Μέσ. ἀόρ. ά. Ἧκασθαι.
Μέσ. ἀόρ. β. Ἔσθαι.
Μέσ. μέλ. ά. Ἥσεσθαι.

Μετοχή.

Ε᾽ν. Ο εἱέμενος, ἡ ἱεμένη, τὸ ἱέμενον. Παρ. ὁ εἱμένος, μένη, μένον

Μετ᾽

Μετ᾽ ὀλ. μέλ. Ὁ Εἰσόμενος, ἡ εἰσομένη, τὸ εἰσόμενον. Ἀόρ. ὁ ἐθείς, ἡ ἐθεῖσα, τὸ ἐθέν.
Μέσ. ἀόρ. ά. Ὁ Ἧκάμενος, ἡ ἡκαμένη, τὸ ἡκάμενον.
Μέσ. ἀόρ. β. Ὁ Ἔμενος, ἡ ἐμένη, τὸ ἔμενον.
Μέσ. μέλ. ά. Ὁ Ἡσόμενος, ἡ ἡσομένη, τὸ ἡσόμενον.
Εὕρηται καὶ ἵημι ψιλούμενον, τὸ πορεύομαι, κλίνεται δ᾽ ὁμοίως τῷ δασυνομένῳ.

Περὶ Ἀντωνυμίας.

Ἀντωνυμίαι ὀνομάζονται λέξεις τινὲς, αἱ ὁποῖαι λαμβάνονται ἀντὶ ὀνόματος, Εἰσὶ δὲ ὀκτώ.

Πρωτότυποι, Σύνθετοι, Κτητικαὶ, Ἐπιμεριζόμεναι, Ἐρωτηματικαὶ, Ἀόριστοι, Ἀναφορικαὶ, καὶ Ἀνταποδοτικαί. Ἔχουσι Γένος, Ἀριθμὸν, Πτῶσιν, καὶ Πρόσωπον, πλὴν τῆς Πρωτοτύπου, ἡ ὁποῖα Γένος οὐκ ἔχει.

Πρω-	Τοῦ ά. Προσ.	Ἐγὼ, ἐμοῦ, ἐμοὶ, ἐμὲ.	
		Ἡμεῖς, ἡμῶν, ἡμῖν, ἡμᾶς. (δ νὼ, νών)	
τό-	Τοῦ β΄. Προσ.	Σὺ, σοῦ, σοὶ, σέ. ὑμεῖς, ὑμῶν.	
		Ὑμῖν, ὑμᾶς. (δ. σφὼ, σφών.)	
τυ-	Τοῦ γ. Προσ.	Ὅς, οὗ, οἷ, ἕ. σφεῖς, σφῶν.	
ποι.		σφίσι, σφᾶς, (δυ σφὲ, σφίν.)	

Σύν.	Τοῦ ά. Προσ.	Γεν.	Ἐμαυτοῦ, ἐμαυτῷ, ἐμαυτόν.	
θετοι.	Θηλ.		Ἐμαυτῆς, ἐμαυτῇ, ἐμαυτήν.	
τρεῖς.	Οὐδετ.		Ἐμαυτοῦ, ἐμαυτῷ, ἐμαυτό.	
ὀνομα.	Τοῦ β΄. Προσ.	Γεν.	Σαυτοῦ, σαυτῷ, σαυτόν.	
τικὰς.			Σαυτῆς, σαυτῇ, σαυτήν.	
οὐκ ἔ-			Σαυτοῦ, σαυτῷ, σαυτό.	χωρὶς πλη-
χουσαι	Τοῦ γ΄. Προσ.	Γεν.	Ἑαυτοῦ. ἑαυτῷ, ἑαυτόν.	θυντικῶν.
αὐτο			Ἑαυτῆς, ἑαυτῇ, ἑαυτήν.	
παθεῖς			Ἑαυτοῦ, ἑαυτοῦ, ἑαυτό.	

καλού-

(a) Σύνθετοι ἐκ τῶν Πρωτοτύπων καὶ ἀναφορικῶν.

καλού Γεν· Πληθυντ· μεναι. (α)

ἑαυτῶν καὶ σφῶν αὐτῶν, ἑαυτοῖς καὶ σφίαιν αὐτοῖς, ἑαυτοὺς καὶ σφᾶς αὐτούς.

Ἄλλη Ἀρσ· Θηλ· Οὐδέτ· Δυϊκῶς· γεν· δοτ·

λοπα Ἀλλήλων· ἀλλήλων· ἀλλήλων·

Θεῖς· ἀλλήλοις. ἀλλήλαις. ἀλλήλοις· ἀλλήλοιν. ἀλλήλαιν· ἀλλήλοιν
ἀλλήλους. ἀλλήλας. ἄλληλα· ἀλλήλω· ἀλλήλα· ἀλλήλω.

Κτητικαὶ δὲ ἀπὸ τῶν Πρωτοτύπων παραγόμεναι ὀκτώ.

Ἐμὸς, σὸς, ἑὸς, νωίτερος, σφωίτερος, ἡμέτερος, ὑμέτερος, σφέτερος·

Καὶ αἱ μὲν ἀρσενικαὶ καὶ οὐδέτεραι κατὰ τὴν τρίτην κλίσιν κλίνονται,

Αἱ δὲ Θηλυκαὶ κατὰ τὴν δευτέραν·

Α΄· Προσ· Ἐμὸς, ἐμὴ, ἐμόν·

Β΄· Προσ· Σὸς, σὴ, σόν· Γ΄· Προσ· ἑὸς, καὶ ὃς, ἑὴ, ἑόν.

Πληθυντικαὶ· τοῦ ά· Προσ· Ἡμέτερος. ἡμετέρα. ἡμέτερον.
τοῦ β· Προσ· Ὑμέτερος. ὑμετέρα. ὑμέτερον.
τοῦ γ· Προσ· Σφέτερος. σφετέρα. σφέτερον.

Δεικτικαὶ δὲ τρεῖς· οὗτος· ἐκεῖνος· ὅδε· Τρίτου προσώπου πᾶσαι (α) οὗτος· τούτου· τούτῳ· τοῦτον· ὦ οὗτος· 2 (τούτω· τούτοιν·) οὗτοι· τούτων· τούτοις· τούτους· ὦ οὗτοι· Αὕτη· ταύτης· ταύτῃ· ταύτην· ὦ αὕτη· 2 (ταύτα· ταύταιν·) αὗται· τούτων· ταύταις· ταύτας· ὦ αὗται· τοῦτο· τούτου· τούτῳ· τούτο· 2 (τούτῳ· τούτοιν·) ταῦτα· τούτων· τούτοις· ταῦτα·

Οὕτω κλίνονται καὶ, ἐκεῖνος· ἐκείνη· ἐκεῖνο·

Ὅδε· τοῦδε· τῷδε· τήνδε· οἵδε· τῶνδε· τοῖς δε· τούς δε· (ὁ· τώδε· τοῖν δε·

(α) Ἡ οὗτος λαμβάνει καὶ τὸ ἰωτα κατ' ἐπέκτασιν· οὑτοσί, τουτουί, τουτωί, τουτονί. Αὕτη καὶ αὐτηί, ταυτησί, ταυτηί, ταυτηνί, τουτοί, καὶ τουτί, τουτουί, τουτοί, καὶ ταυτί. Καὶ ἐκεινοσί ὁμοίως· πλὴν σπανιώτερον.

τοῖν δε·) Ἥδε· τῆσδε· τῇ δε· τήνδε· αἵδε· τῶν δε· ταῖς δε· τάς δε (ὁ· τά δε· ταῖν δε·) τόδε· τοῦ δε· τῷ δε· τόδε· τάδε· τῶνδε· τοῖς δε· τάδε· (ὁ· τάδε· τοῖνδε·) διὰ τοῦ ἄρθρου, καὶ τοῦ δὲ συνδέσμου

Ἐρωτηματικαὶ δὲ εἰσίν· Τίς; Ποῖος; Πότερος; Πόσος; ποδαπός; ποσταῖος; πηλίκος; (β)

Κοιν· Τίς; τίνος; τίνι; τίνα; τίνες; τίνων; τίσι; τίνας; (ὁ· τίνε; τίνοιν·)

Οὐδ· Τί; τίνος; τίνι; τί; τίνα; τίνων, τίσι; τίνα; (ὁ· τίνε; τίνοιν;)

Αἱ δὲ λοιπαὶ, αἱ μὲν Ἀρσενικαὶ καὶ Οὐδέτεραι, κατὰ τὴν τρίτην Κλίσιν, κλίνονται· αἱ δὲ Θηλυκαὶ κατὰ τὴν δευτέραν·

Ἀόριστοι δὲ εἰσὶν αἱ ἑξῆς· Τίς· ὅς τις· ὁποῖος· οὐδείς· καὶ Δεῖνα· καὶ ὁπότερος·

Τίς· τινός· τινί· τινά· καὶ τὰ λοιπὰ ὁμοίως τῇ ἀνωτέρᾳ, ὅμως ἄνευ ἐρωτήσεως, καὶ ἐν καταβιβασμῷ τοῦ τόνου·

Ὅς τις· οὗτινος· τινι· ὅν τινα· (ὁ ὥτινε· οἵντινοιν·) οἵτινες· ὧν τινων· οἷς τισιν· οὕς τινας·

Ἥ τις· ἧς τινος· ᾗ τινι· ἥν τινα· (ὁ ἅτινα· αἵντινοιν·) αἵτινες· ὧν τινων· αἷς τισιν· ἅς τινας·

Ὅ,τι· οὗ τινος· ᾧ τινι· ὅ,τι· (ὁ ᾧ τινε· οἷν τινοιν·) ἅτινα· ὧν τινων οἷς τισιν· ἅτινα·

Τὸ ὅς τις λαμβάνει καὶ τὸ οὖν, καὶ λέγεται· ὅς τισοῦν· οὗτινοσοῦν· ὡτινιοῦν· ὅν τιναοῦν· οἵ τινεσοῦν· ὧν τινωνοῦν· οἷς τισινοῦν· οὕς τινασοῦν· οὕτω καὶ τὸ ἥτις· καὶ ὅ,τι·

Ὁποῖος καὶ ὁ πότερος· καὶ ὁπόσος· (ἀορίστως λαμβανόμενα) εἰς τὴν γ· καὶ β· κλίσιν κλίνονται·

Ὁ Δεῖνα· τοῦ δεῖνος· τῷ δεῖνι· τὸν δεῖνα· κατά τινας δὲ καὶ ἄκλιτον· ὁ δεῖνα· τοῦ δεῖνα·

Οὐδείς· οὐδενός· οὐδενί· οὐδένα· οὐδένες· οὐδένων· οὐδέσι· οὐδένας·

(α) Ὡς Κτητικαὶ αὐτῶν. λαμβάνονται καὶ τὸ ἡμεδαπός, ὑμεδαπός, ἀλλοδαπός, ἐκ τοῦ ἔδαφος.

θένας· ἐκ τοῦ οὐ καὶ θείς· θενός.

Ε᾽πιμεριζόμεναι δέ εἰσιν αὗται· ἕτερος· (εἷς ἐκ τῶν δύο·) ἄλλος· (εἷς ἐκ τῶν πολλῶν·) ἑκάτερος· (δύο καθ᾽ ἕνα·) ἕκαστος· (πολλοὶ καθ᾽ ἕνα·) κλίνονται τριγενῶς κατὰ τὴν τρίτην καὶ δευτέραν Κλίσιν·

Α᾽ναφορικαὶ δὲ δύο· αὐτός· αὐτή· αὐτό· ὅς· ἥ, ὅ.

Αὐτός· αὐτοῦ· αὐτῷ· αὐτόν· (ὦ αὐτώ· αὐτοῖν·) αὐτοί· αὐτῶν· αὐτοῖς· αὐτούς·

Αὐτή, αὐτῆς· αὐτῇ· αὐτήν· (ὦ αὐτά· αὐταῖν·) αὐταί· αὐτῶν· αὐταῖς· αὐτάς·

Αὐτό· αὐτοῦ· αὐτῷ· αὐτό· (ὦ αὐτώ· αὐτοῖν·) αὐτά· αὐτῶν· αὐτοῖς· αὐτά·

Ὅς· οὗ· ᾧ· ὅν· (ὦ ὡ· οἷν·) οἵ· ὧν· οἷς· οὓς· ἧλ· ἥ· ἧς· ᾗ· ἥν· (ὦ ἃ· αἷν·) αἵ· ὧν· αἷς· ἅς· Οὐθέτ· ὅ· οὗ· ᾧ· ὅ· (ὦ ὡ· οἷν·) ἅ· ᾧν· οἷς· ἅ·

Συναπτεται ἡ ὃς καὶ μετὰ τοῦ περ καὶ γε συνδέσμου, κατὰ πάσας τὰς πτώσεις· ὅς περ· οὗ περ· ὅς γε· ἥπερ· ἧς περ· ὅπερ· ἅπερ· κλ·

Ε᾽τι ἀναφορικαί εἰσι· καὶ οἷος· οἷα· οἷον· ὅσος· ὅση· ὅσον· ἡλίκος· ἡλίκη· ἡλίκον· τριγενῶς εἰς τὴν τρίτην καὶ δευτέραν κλινόμεναι, καὶ πρὸς τὰς Ἀνταποδοτικὰς, ὡς ἐπὶ τὸ πλεῖστον, ἀναφερόμεναι· οἷος ὁ Πέτρος, τοιοῦτος καὶ ὁ Παῦλος· τοσοῦτος, ὅσος· κλ·

Α᾽νταποδοτικαὶ δὲ εἰσὶν αὗται· Τόσος· τόση· τόσον· τοσοῦτος· τοσαύτη· τοσοῦτον· τοῖος· τοία· τοῖον· τοιοῦτος· τοιαύτη· τοιοῦτον· τηλίκος· τηλίκη· τηλίκον· τηλικοῦτος· τηλικαύτη· τηλικοῦτον. Κλίνονται τριγενῶς, κατὰ τὴν τρίτην, καὶ δευτέραν, ἀνταποδίδονται δὲ πρὸς

Τὸ Ἕτερος καὶ ἄλλος οἱ μὲν Ἀντωνυμίας καλοῦσιν, οἱ δὲ ὀνόματα διαφορικά, καὶ ἑκάτεροι οὐκ ἀλόγως. Ἀττικοὶ δὲ ἄτερος λέγουσιν, ἀντὶ ὁ ἕτερος (καὶ οἱ Δωριεῖς θάτερος) τοῦ ἑτέρου καὶ θατέρου. τῷ ἑτέρῳ καὶ θατέρῳ. (οὐχὶ δὲ καὶ τὸν ἕτερον καὶ τοὺς ἑτέρους

πρὸς τὰς εἰρημένας Ἀναφορικὰς, ὡς ἐπὶ τὸ πλεῖστον. Τὸ τοῖος λαμβάνει καὶ τὸν δὲ σύνδεσμον· τοιόσ δε· τοιάδε· τοιόνδε·

Πρόθεσις·

Πρόθεσις ὀνομάζεται λέξις τὶς ἄκλιτος· ἡ ὁποία προτίθεται πρὸ τῶν ὀνομάτων μὲν κεχωρισμένως τε, καὶ συνθέτως·

Πρὸ δὲ τῶν ῥημάτων συνθέτως ἀεὶ, παρὰ τοῖς Πεζογράφοις.

Καὶ μονοσύλλαβοι μὲν εἰσὶν ἐξ· ἐν· εἰς· ἔξ· σύν· πρός· πρό·

Δισύλλαβοι δὲ δώδεκα· ἀνὰ, κατὰ, διὰ, μετὰ, παρὰ, ἀντὶ, ἐπὶ, περὶ, ἀμφὶ, ἀπὸ, ὑπὸ, ὑπὲρ· Καὶ ἡμὲν ἐν, εἰς, ἐκ, οὐ δέχονται τόνον· αἱ δὲ λοιπαὶ δέχονται· ψιλοῦνται δὲ, πλὴν τῆς ὑπὸ καὶ ὑπέρ·

Ἐπίῤῥημα·

Ἐπίῤῥημα ἐστὶ λέξις, ἄκλιτος, ἀναφερομένη ἐπὶ ἕν τι ῥῆμα· καλῶς γράφω· λίαν σπουδάζω· νῦν ζῶ· αὔριον ἀποθνήσκω· Τὰ ἐπιῤῥήματα σημαίνουσιν·

Ποτέ· Ἢ χρόνον, νῦν· τότε· ὅτε· ἤδη· αὖθις· πάλιν· τόφρα· τέως· ἕως· ἡνίκα· ἔπειτα· μετέπειτα· σήμερον· αὔριον· χθές· πέρισυ· πρώην· πάλαι· εὐθύς· ἀκαρῆ·

Ποῦ· Ἢ τόπον· ἄνω, κάτω, ἔξω, ἔσω, ἔνδον, ἐγγύς· πόῤῥω, ἐναντίον, χαμαὶ, ἐνθα, ὅθεν, ἐπέκεινα, μακρὰν, ἀντικρὺ ἐνταῦθα, ἐκεῖ, ἄπο, ἄποθεν, πρόσθεν, πέριξ·

Ἢ Ποσότητα· ἅπαξ· δίς· τρίς· τετράκις· χιλιάκις· πολλάκις· ὀλιγάκις· ποσάκις·

Ἢ Ποιότητα· εὖ· καλῶς· ἡδέως, σοφῶς· (ᾶ καὶ Μεσότητος, καλοῦνται·) κυνηδὸν, βοτρυδὸν, ἀγεληδὸν, ἀμηγέπως, ὁπωσδήποτε, ἠρέμα, ἐμποδὼν, σποράδην, ἄρδην, βάδην·

Πῶς

Τέον ὅτι αἱ Προθέσεις, ὅσαι λήγουσιν εἰς φωνῆεν, ὅτε συντίθενται μὲ λέξεις, ἀρχομένας ἀπὸ φωνήεντος, ἀποβάλλουσι τὸ τελευταῖον αὐτων φωνῆεν· ἀνέρχομαι, διέρχομαι· κτ. πλὴν τῆς πρὸ καὶ περὶ, (καὶ τῆς ἀμφὶ ἐνίοτε) περιέρχομαι, προηγοῦμαι, ἀμφιέπω·

Πῶς. Ἡ Ἀθροισιν. ἅμα. ὁμοῦ. συλλήβδην. ἀθρόως. πανθημεί. πανοικί.

Ἡ Προτροπὴν. ἄγε, φέρε, εἶα, δεῦρο, δεῦτε. Καὶ ἄπαγε. (τὸ ἐναντίον.)

Ἡ Ἐξαίρεσιν καὶ διαίρεσιν. πλὴν, ἄνευ, χωρὶς, δίχα.

Πῶς Ἡ Τάξιν. ἑξῆς. ἐφεξῆς.

Πῶς Ἡ Ὁμοίωσιν. ὡς. ὥσπερ. καθάπερ. οὕτω, καὶ ὡς. (ὁ καὶ Ἀποτάσεως λέγεται, ἢ ὑποτάσεως.)

Πῶς Ἡ Σύγκρισιν. μᾶλλον, ἧττον, μεῖον, ἔλαττον.

Πῶς Ἡ Ἐπίτασιν καὶ ὑπέρθεσιν, ἄγαν, πάνυ, λίαν, μαλιστα. σφόδρα.

Πῶς Ἡ Ἐξήγησιν. δηλονότι, δηλαδὴ, ἤγουν, οἷον.

Πῶς

Ὀρθογραφία Ἐπιῤῥημάτων.

Τὰ εἰς ε. καὶ ες. καὶ εν, Ἐπιῤῥήμ. τῷ ἐψιλῷ γράφονται, τότε, χθὲς ὄθεν, πλὴν, πάλαι, χαμαί, ναὶ, καὶ βαβαὶ, παπαῖ, οὐαὶ, αἰτιταταί.

Τὰ εἰς ην τῷ ητα. πλὴν τοῦ πρὶν, πάλιν, κατόπιν, τῷ ι. καὶ νῦν τῷ υ

Τὰ εἰς ις τῷ ιωτα. πλὴν τοῦ ἑξῆς, αἴφνης, ἐξαπίνης, ἔμπης, ἐπίσης τῷ ητα. καὶ ἐγγὺς, εὐθὺς, ἀντικρυς, τῷ υ.

Τὰ εἰς ει ὀξύτονα τῇ ει. αὐτοφεί. κτ. πλὴν τῶν ἐθνικῶν, Ἑβραϊστί, κτ. καὶ ἔτι πρωΐ, ἀμισθί, ἀνωνυμί, ὀνομαστί, νεωστί, πανοικί, ἀναιμωτί, ἠνί, καὶ δηλαδὴ, νὴ, τῷ η. καὶ μεταξὺ τῷ υ.

Τὰ εἰς η περισπώμενα δοτικοφανῆ τῇ ῃ διφθόγγῳ. πλὴν τοῦ παγγενῆ εἰκῆ. ἀκαρῆ. μηδαμῆ. ἁμαρτῆ τῷ ητα. καὶ ἐκεῖ τῇ ει. καὶ γρῦ τῷ υ

Τὰ δὲ βαρύτονα τῷ ι. πλὴν τοῦ πάνυ. πέρισυ. τῷ υ. οἴκοι τῇ οι. καὶ ὅπη. ἦδη. πάντη. τῷ ητα.

Τὰ εἰς ον τῷ ὀμικρῷ. ποταμηδὸν, πλὴν ἐμποδὼν, χρεὼν, τελευτὼν, τῷ ω.

Τὰ

Περισπῶνται δὲ ἐκ τῶν Ἐπιῤῥημάτων τὰ εἰς ως ἐὰν ἔχωσι τὸν τόνον ἐν τῇ ληγούσῃ. στρῶς, πλὴν τοῦ ὡς. Ἐκ τῶν εἰς ει ληγόντων, τὸ ἐκεῖ, εἰκῇ καὶ ἢ βεβαιωτικόν,

Πῶς Ἡ Διεγαμὸν καὶ Εἰκασμὸν, σχεδόν. μόλις. μόγις. ἴσως. τάχα, τυχόν.

Πῶς Ἡ Βεβαίωσιν. δήποθεν, δηλαδὴ, πάντως, ὄντως, ἦ, μενοῦν γε.

Πῶς Ἡ Θαυμασμὸν, καὶ Ἔκπληξιν. ὦ, βαβαὶ, καὶ Ἡράκλεις. Ἄπολλον

Πῶς Ἡ Σχετλιασμόν. ὦ. Ἰού. οἴμοι, φεῦ, παπαῖ, οὐαὶ, ἀβάλαι, ἀττταταί.

Πῶς Ἡ Ἐθνικὴν προφορὰν, Ἑλληνιστὶ, Ἑβραϊστὶ, Ἀρμενιστὶ. Τουρκιστί.

Πῶς Ἡ Τὸ ὄργανον. ὁδὰξ, λὰξ, πὺξ, ἀπρὶξ, καὶ τρόπον.

Ἡ Κατάφασιν, καὶ κατόμωσιν, ναί. νή.

Ἡ Ἀπόφασιν, καὶ ἀπόμωσιν. οὐ, οὐδαμῶς, ἦκιστα, μά.

Ἡ Ἀπαγόρευσιν. μὴ, μηδαμῶς.

Ἡ Ἐρώτησιν. πόθεν. ποῦ, πηνίκα, πῶς.

Ἡ Δεῖξιν. Ἰδοὺ, ἠνί.

Ἡ Εὐχήν. εἴθε, αἴθε, ὄφελον.

Ἡ Θέσιν. ἀναγνωστέον. γραπτέον. ἰστέον. (ἃ καὶ Θετικὰ ὀνομάζονται.)

Ἐπιῤῥηματικῶς ἐκλαμβάνεται, καὶ τὸ εἶεν. καὶ Ἀποθετικὸν ὀνομάζεται. ἐν τέλει περιόδου τιθέμενον, καὶ ἀρχὴν ἄλλης ἐνοίας ποιοῦν.

Ἔστι

Τὰ εἰς ω τῷ ωμέγα. ἄνω, κάτω, πλὴν ἄπο, καὶ δεῦρο.

Τὰ εἰς ως τῷ ωμέγα. πλὴν πάρος, τῆμος, ἔναγχος, ἐκτὸς καὶ ἐντὸς τῷ ο

Τὰ εἰς ιξ μονοσύλλαβα μὲν τῷ υ. πὺξ. πολυσύλ. τῷ ι. ἐπιμὶξ, πέριξ,

Τὰ εἰς ικα καὶ ιον τῷ ι παραλήγουσιν, αὐτίκα, πλησίον, ἐνώπιον.

Τὰ Θετικὰ τῷ ἐψιλῷ παραλήγουσιν. Ἀναγνωστέον.

Τὰ εἰς ηδὸν τῷ ητα παραλήγουσι. πλὴν βοτρυδὸν.

Τὰ Παράγωγα πάντα φυλάττουσι τὴν γραφὴν τῶν πρωτοτύπων πλὴν τοῦ ἑτέρωθεν καὶ ἀμφοτέρωθεν.

Σύν-

τικὸν, καὶ τὰ δοτικοφανῆ πάντα. Ἐκ τῶν εἰς ψιλὸν μονοσυλλάβων, τὸ νῦν καὶ ῥῦ.

Ἔ̓στι δὲ τὸ Ἐπίῤῥημα, ἢ πρωτότυπον, κάτω, ἐγγύς.

Ἡ Παράγωγον ἐκ πάντων τῶν μερῶν τοῦ λόγου, ἀπὸ Ῥήματος, μίγδην, κρύβδην, πλευστέον. ἀπὸ Ἄρθρου τῆδε, ἀπὸ Μετοχῆς. εἰδότως ἀπὸ Ἀντωνυμίας. οὕτως· ἀπὸ Προθέσεως. ἄσοθεν, πρόσθεν. ἀπὸ Ἐπιῤῥήματος. κάτωθεν ἐγγύθεν· ἀπὸ Ὀνόματος τὰ πλείω· σποράδην· ὀλιγάκις, πανδημεί, ἧττον, ἄριστα. καὶ καλῶς, σοφῶς· ἀπὸ τῆς Γενικῆς Πληθυντικῆς τοῦ ὀνόματος παραγόμενα, ἡ ὁποία ἐπειδὴ κοινὴ καὶ μέση ἐστὶν ἐν πάντι γένει, διὰ τοῦτο καὶ αὐτὰ Μεσότητος ὀνομάζονται, καὶ ἀπὸ Συνδέσμων, ὄφπου, μενοῦνγε.

Καὶ ἡ Ἁπλοῦν ἐστὶ τὸ Ἐπίῤῥημα, πάλαι, ἢ Σύνθετον πρόπαλαι.

Σύνδεσμος.

Σύνδεσμός ἐστι λέξις ἄκλιτος, ἡ ὁποία συνδέει καὶ λέξεις, καὶ λόγους· καὶ σημαίνει. καλοῦνται·

Ἡ Συμπλοκὴν, μὲν, δὲ, τὲ, καὶ, ἀλλὰ, ἀτάρ. Συμπλεκτικοί.

Ἡ Διαζευξιν. καὶ χωρισμόν. ἤ. ἤτοι. Διαζευκτικοί.

Ἡ Ὑπόθεσιν, εἰ, εἴπερ, ἤν, κἄν, ἐάν. Συναπτικοί.

Ἡ Αἰτίαν ποιητικήν. ἐπεί, ἐπειδή, γάρ, ὅτι. διότι. Αἰτιολογικοί, ἢ παρασυναπτικοί.

Ἡ Αἰτίαν τελικήν, ἵνα, ὅπως, ὅφρα, ἕνεκα. Αἰτιολογικοί.

Ἡ Ἀπορίαν· ἆρα, μῶν, μή· Ἀπορηματικοί.

Ἡ Συλλογισμὸν καὶ συμπέρασμα· ἄρα, ἀλλὰ, ἀλλὰμὴν, οὖν, τοίνυν, τοιγαροῦν, ὅθεν, διό. Συλλογιστικοί.

Ἡ Ἐναντίωσιν· ὅμως, καίτοι, καίπερ, ἔμπης, εἰκαί· Ἐναντιωματικοί.

Ἡ Μείωσιν. ὀλιγόστευσιν· γοῦν, γε. Ἐλαττωτικοί.

Ἡ Πιθανότητα δύναμιν· ἄν. Δυνητικοί.

Ἡ Πλεονασμὸν· πέρ, πῶ, μήν, αὖ, οὖν, γε. Παραπληρωματικοί

Ἔ̓στι δὲ ὁ Σύνδεσμος, ἢ Ἁπλοῦς, ἐπεί. μέν. ἢ Σύνθετος, ἐπειδή, μέν γε.

Ἰστέον

Ἐκ τῶν Συνδέσμων περισπῶνται ὁ οὖν, μῶν, πῶ, αὖ, γοῦν, ὁ δὲ ἀπορηματικὸς ἆρα, προπερισπᾶται.

Ἰστέον ὅτι οἱ νεώτεροι πολλὰ μὲν τῶν ὀνομασθέντων Ἐπιῤῥημάτων παρὰ τοῖς παλαιοῖς ἀνάγουσιν οὐκ ἀλόγως εἰς τὰς Προθέσεις. ὡς τὸ, ἄνευ, ἔνδον, χωρὶς, ἐκτὸς, δίχα, ἄτερ, πλὴν, νὴ, μὰ, καὶ ἕνεκα. δίκην. ἐνώπιον. ἔναντι. πόῤῥω. μᾶλλον. μάλιστα. δίς. τρίς. ἐφεξῆς. φεῦ. εὖ. ἅλις. λάθρα. καὶ ὅσα ἄλλα συντάσσονται πλαγίᾳ πτώσει· τὰ δὲ θετικὰ Ἐπιῤῥήματα εἰς τὰ ὀνόματα. μερικοὺς πάλιν Συνδέσμους εἰς τὰ Ἐπιῤῥήματα. ὡς τὸν ἵνα, ὅπως, ὡς, εἰ, ἐπειδή. (καὶ μερικὰ Ἐπιῤῥήματα εἰς τοὺς Συνδέσμους, ὡς τὰ θαυμαστικὰ, καὶ σχετλιαστικά.) ἡμεῖς ὅμως ὡς μὴ περὶ ὀνομασιῶν φιλονεικοῦντες, τὰ περὶ Κλίσεως, γραφῆς, καὶ συντάξεως αὐτῶν μόνον σκοπεύομεν.

Ὅσα οὐκ ἐτέθησαν εἰς τοὺς παρόντας Ὀρθογραφικοὺς Κανόνας εἰμὴν ἐκφωνοῦσιν Ε. ἐν τῇ Παραληγούσῃ, γράφονται τῷ ἐψιλῷ.
Εἰδὲ ἐκφωνοῦσιν Η. ἐν τῇ Παραληγούσῃ, γράφονται τῷ ἰῶτα.
Εἰδὲ ἐκφωνοῦσεν Ο· ἐν τῇ Παραληγούσῃ, γράφονται τῷ ὁμικρῷ.

Περὶ Παραγωγῆσι

Τὰ ὀνόματα ἔτι ἐξετάζονται ὁποῖα εἰσὶν, ἢ κατὰ φωνὴν, ἢ κατὰ σημασίαν.

Κατὰ τὴν σημασίαν μὲν θεωρούμενα, διαιροῦνται εἰς οὐσιαστικὰ καὶ ἐπίθετα.

Τὰ οὐσιαστικὰ διαιροῦνται εἰς Κύρια, καὶ προσηγορικά.

Κύρια ὀνόματα εἰσίτε καὶ λέγονται, ὅσα σημαίνουσιν ἀτομικῶς ἓν πρόσωπον, ἢ ἓν πρᾶγμα. Πέτρος, Μαρία, Ῥαιδεστὸς, Ἀθῆναι. τοῦτο τὸ μῆλον. καὶ εἰσὶν ἀεὶ μονογενῆ.

Προσηγορικὰ λέγονται, ὅσα σημαίνουσι καθολικήν τινα ἔννοιαν, ἡ ὁποία ἐφαρμόζεται εἰς πολλά· ἄνθρωπος, λέων, ἀετὸς, ἔλλην, βασιλεὺς, πατὴρ, χαλκεὺς, ἐλαιὼν, γυνὴ, ἀρετὴ, σωφροσύνη. κακία. πορνεία· ῥοιὰ, ἐλαία. ζωὴ, ὑγεία. οὐσία· λίθος· ζῷον. φυτὸν, μῆλον.

λον. καὶ εἰσὶ μονογενῆ, ἢ διγενῆ. ἢ κοινά, ἢ ἐπίκοινα. (α)

Ἐπίθετα εἰσὶν, ὅσα σημαίνουσι ποιότητα. ἢ ποσότητα, καὶ ἐφαρμόζονται εἰς τὰ κύρια, καὶ προσηγορικά. σοφὸς, ταχὺς, ἄγριος, γενναῖος. δίκαιος. φίλτατος. ἵλεως. ἔμπειρος. εὐρύχωρος. ὡραία. μεγάλη, ἐπαινετή. εὐσχήμων. μισητὴ, βδελυκτὴ, ἔνδοξος. ὑψηλὴ, ἄψυχος, ποθεινὴ, βαρὺς, λογικὸν, εὔκαρπον. ἐρυθρὸν, καὶ εἰσὶ τριγενῆ. ἢ κοινὰ, ἐπὶ ἀρσενικοῦ καὶ θηλυκοῦ, ἔχοντα καὶ οὐδέτερον. ὁ καὶ ἡ ἄψυχος, καὶ τὸ ἄψυχον. καὶ ὁ δίκαιος ἢ δικαία, καὶ τὸ δίκαιον.

Μερικώτεραι ὀνομασίαι τῶν Προσηγορικῶν, ὥσπερ εἴδη αὐτῶν, εἰσὶ ταῦτα.

Γενικὰ, οὐσία. λίθος. ζῶον. φυτόν. Εἰδικά. ἄνθρωπος. ἵππος. ἐλαία. Πρός τι, ἢ σχετικά. πατὴρ, υἱὸς, δοῦλος. ὡς πρός τι. ἢ ἐναντία. ζωὴ, θάνατος. νὺξ, ἡμέρα. Ἄσχετα. Θεός. ἄγγελος. λόγος. Περιληπτικά. δῆμος. χορός. συνέδριον. γερουσία. Περιεκτικά. θαρνῶν. ἐλαιῶν. ταμεῖον. ὡς Περιεκτικά. ἀγῶν. κυκεών. σημεῖον. Ἐθνικά. Πέρσης, Ἰουδαῖος. Πατρωνυμικά. Πριαμίδης, Ἀλεξιάς. Ὑποκοριστικά. ἀνθρωπίσκος, παιδίσκη. Πεποιημένα. φλοῖσβος, ῥοῖζος. Ἐπώνυμα. Φοῖβος, (ὁ Ἀπόλλων) Ἐνοσίχθων, ὁ Ποσειδών. Τεχνικά. ἢ ἐπαγγελματικά. τέκτων, ῥήτωρ, ἱερεύς. Ἐνεργητικά. κριτής. γραφεύς. θεατής.

Μερικώτεραι ὀνομασίαι τῶν ἐπιθέτων, ἢ ὡς εἴδη αὐτῶν εἰσὶ ταῦτα.

Τακτικά. πρῶτος. δεύτερος. τρίτος. κλ. Πρός τι. μέγας, μικρός, διπλάσιος, τριπλάσιος. Τοπικά. πεδινὸς, ὀρεινός. Χρονικά. χθεσινὸς, σημερινὸς, ἐναύσιος. Ἐνεργητικά. Κριτικὸς, ποιητικὸς, λυκοκτόνος, λαοτρόφος, χαλκοτύπος. πρωτοτόκος, ἢ πρῶτον τεκοῦσα. Παθητικά. ποιητὸς, ἀκουστὸς, λυκόκτονος, λαότροφος, ἀκουστέος, χαλκότυπος, πρωτότοκος, ὁ πρῶτον τεχθείς. Μετουσιαστικά. λίθινος. ξύλινος. ἀργύρεος.

(α) Ἐπίκοινα εἰσὶν ὅσα μὲ ἓν ἄρθρον δηλοῦσι καὶ τὰ δύο γένει. ὁ Λητὼς, ἡ Χελιδὼν ἐπὶ Ἀρσενικοῦ τε καὶ Θηλυκοῦ.

ργύρεος. Ἀριθμητικά. εἷς, δύο, τρεῖς. Συγκριτικὰ καὶ Ὑπερθετικά. ἐνδοξότερος. μείζων. δικαιότατος. μέγιστος. καὶ Κτητικά. Πλατωνικός. Ἑκτόρεος. Ἵππιος.

Τὰ μὲν οὖν Κύρια εἰσὶν ἀεὶ Μονογενῆ, ὡς προείπομεν.

Ἐκ δὲ τῶν Προσηγορικῶν, τὰ μὲν εἰς ης καὶ εἰς ην λήγοντα διγενῆ, ποιοῦσι τὸ θηλυκὸν εἰς ις. Προφήτης, προφῆτις, φήτιδος. Ἕλλην, ἑλληνὶς, ίδος. ἢ εἰς οινα δεσπότης δέσποινα. ἢ εἰς αινα Ἰχθυοπώλης ἐχθυοπώλαινα. ἢ εἰς τρια ποιητὴς ποιήτρια.

Τὰ δὲ εἰς ος καὶ ως. ποιοῦσι τὸ θηλυκὸν ἢ εἰς α. Θεὸς θεά. ἢ εἰς η ἀδελφὸς ἀδελφή. ἢ εἰς ας. ἀμνὸς ἀμνάς. Τρὼς Τρωάς. ἢ εἰς αινα λύκος λύκαινα. ἢ εἰς ις. αἰχμάλωτος αἰχμαλωτίς. καὶ Ἥρως ἡρωΐς.

Τὰ δὲ εἰς ηρ. καὶ ωρ. ποιοῦσι τὸ θηλυκὸν εἰς ειρα. δοτὴρ δότειρα. πίειρ πίειρα. δαμάτωρ δαμάτειρα. πλὴν συλλήπτρια, καὶ συμπαίστρια. Τὰ δὲ εἰς ων εἰς αινα. λέων λέαινα. τέκτων τέκταινα.

Τὰ δὲ εἰς ξ. ψ. σ. ποιοῦσι τὸ θηλυκὸν εἰς σσα. ἄναξ. ἄνασσα. φοίνιξ. φοίνισσα. φάψ. φᾶσσα. κρὴς. κρῆσσα. λίβυς. λίβυσσα.

Τὸ δὲ βασιλεύς. βασίλισσα. καὶ βασιλὶς. καὶ βασίλεια. καὶ ἱερεύς. ἱέρεια. καὶ ἱέρισσα. καὶ ἔτι βαλανεύτρια, καὶ κουρεύτρια. ἀπὸ βαλανεὺς καὶ κουρεὺς, καὶ πρέσβυς πρέσβεια.

Τῶν δὲ Ἐπιθέτων ἄλλα μὲν εἰσὶ τριγενῆ, ἄλλα δὲ κοινά.

Καὶ τριγενῆ μὲν εἰσὶ τὰ ἁπλὰ, ἅγιος, ἁγία, ἅγιον. σοφὸς, σοφὴ, σοφόν. Κοινὰ δέ εἰσι τὰ ἀνώμαλα Συγκριτικὰ, ὁ καὶ ἡ μείζων, κρείττων, βελτίων, καὶ εἰς ος σύνθετα τῆς τρίτης. ὁ καὶ ἡ ἔνδοξος, καὶ ἔνια ἀττικὰ, ὁ καὶ ἡ Ἵλεως, καὶ ἄλλα τινὰ τεταρτόκλιτα σύνθετα, καὶ μὴ, ὁ καὶ ἡ ἄπους, ὁ καὶ ἡ ἀληθής. Ἀττικῶς ὅμως καὶ τὰ μὴ σύνθετα, ὅσα ἐξ ὀνόματος παράγονται, κοινὰ γίνονται. ὁ καὶ ἡ οὐράνιος. ὁ καὶ ἡ θαλάσσιος.

Κα-

Κανονίζονται δὲ αἱ Λήγουσαι τῶν Τριγενῶν Ἐπιθέτων Οὕτως ἐν Γενικῷ Τύπῳ.

Ἄρσεν.	Θηλ.	Οὐδέτ.	
As.	ασα.	αν.	Πᾶς πᾶσα, πᾶν. καὶ τύψας, τύψασα, τύψαν.
As.	αινα.	αν.	Μέλας, μέλαινα, μέλαν.
Εις.	εσσα.	εν.	Χαρίεις, χαρίεσσα, χαρίεν. πλὴν τῶν Μετοχῶν, τυφθεῖσα, τυφθέν.
Ος.	α.	ον.	Τὰ καθαροκαταλήκτα Ἰσοσύλλαβα, καὶ τὰ εἰς ρ. ἅγιος, ἁγία, ἅγιον. καθαρὸς, καθαρὰ, καθαρὸν, πλὴν ὄγδοος, ὀγδόη.
Ος.	η.	ον.	Τὰ μὴ καθαρὰ πάντα, σοφὸς, σοφὴ, σοφόν.
Υς.	εῖα.	υ.	Ἡδὺς, ἡδεῖα, ἡδύ· ἥμισυς, ἡμίσεια, ἥμισυ· πλὴν τοῦ ζευγνὺς, ζευγνῦσα, ζευγνύν.
Ους. Μετοχ.	η.	ουν.	Χρυσοῦς, χρυσῆ, χρυσοῦν. πλὴν ἀργυροῦς, ἀργυρᾶ.
Ως.	εια.	ος.	Τετυφὼς, τετυφεῖα, τετυφός.
Ως.	ωσα.	ως.	Ἑστὼς, ἑστῶσα, ἑστώς.
Ων.	ουσα.	ον. ἢ ουν.	Τύπτων, ποιῶν, χρυσῶν, οὖσα, ον, ἢ ουν.
Ων.	ωσα.	ων.	Βοῶν, βοῶσα, βοῶν.

Τὰ δὲ Κοινὰ Ἐπίθετα, τὸ μὲν Θηλυκὸν ἔχουσιν ὅμοιον, τὸ δὲ Οὐδέτερον ἀνόμοιον. Οὕτω.

Ὁ καὶ ἡ Ἔνδοξος. καὶ τὸ ἔνδοξον.	Ὁ καὶ ἡ Συνήθης, καὶ τὸ σύνηθες.

Ὁ καὶ ἡ Ἵλεως. καὶ τὸ ἵλεων.	Ὁ καὶ ἡ Πολύδακρυς. καὶ τὸ πολύδακρυ.
Ὁ καὶ ἡ Εὐσχήμων. καὶ τὸ εὐσχῆμον.	Ὁ καὶ ἡ Ἄπους. καὶ τὸ ἄπουν.
Ὁ καὶ ἡ Πολύτλας. καὶ τὸ πολύτλαν.	Ὁ καὶ ἡ Τέρην. καὶ τὸ τέρεν.
Ὁ καὶ ἡ Ἄχαρις. καὶ τὸ ἄχαρι.	Ὁ καὶ ἡ Ἔμφλοξ. καὶ τὸ ἔμφλοξ
Ὁ καὶ ἡ Ἀληθὴς. καὶ τὸ ἀληθές.	Ὁ καὶ ἡ Ἅρπαξ. καὶ τὸ ἅρπαξ.

Περὶ Ἐτυμολογίας.

Αὐτὰ δὲ ταῦτα, τάτε Κύρια. τάτε Προσηγορικά. καὶ Ἐπίθετα κατὰ φωνὴν ἐξετάζοντες, τὸ ἂν ἦναι Πρωτότυπα ἢ Παράγωγα ἐξετάζομεν. Πρωτότυπα λέγονται, ὅσα οὐ γεννῶνται παρ' ἄλλων. ἡ χεὶρ γράφει. Παράγωγα δὲ ὅσα γεννῶνται ἐξ ἄλλων. ὁ γραφεὺς μοχθεῖ. ὅτι ἐκ τοῦ γράφω, καὶ μόχθος.

Τῶν δὲ Παραγώγων εἴδη δύο. Ὀνοματικὸν, καὶ Ῥηματικόν.

Καὶ τοῦ μὲν ὀνοματικοῦ εἴδη ἕξ. Πατρωνυμικὸν, Κτητικὸν, Ὑποκοριστικὸν, Συγκριτικὸν, Ὑπερθετικὸν, καὶ Παρώνυμον.

Πατρωνυμικὰ λέγονται ὅσα παράγονται ἐκ τῆς ὀνομασίας τοῦ Πατρὸς (σπανίως δὲ καὶ τῆς μητρὸς) καὶ δηλοῦσι τὸν υἱὸν, ἢ τὴν Θυγατέρα.

Προσηγ. πάντα.

Ἄρσεν,

Αδης. Αἰνειάδης, Ἰφιτάδης ἀπὸ Πρωτοκλίτων, καὶ Ἀλεξιάδης, Ἀντωνιάδης, ἀπὸ Τριτοκλίτων καθαροκαταλήκτων.

Ιδης. Πριαμίδης ἀπὸ τριτοκλίτων μὴ καθαροκαταλήκτων, καὶ ἀπὸ τεταρτοκλίτων καὶ Συνῃρημένων. Αἰαντίδης, Δημοσθενίδης. Πηλείδης, Λητοίδης, καὶ κατὰ Συναίρεσιν Πηλείδης, λητοίδης.

Θηλυκ.

Ας καὶ Ις. Ἀλεξιὰς, Αἰνειὰς, Πριαμὶς, χρυσηὶς, νεσσορὶς ἀπὸ τῶν ἰδίων ἀρσενικῶν Πατρωνυμικῶν. Αἰνείας Αἰνειάδης, Αἰνειάς.

νειάς. Πρίαμος, Πριαμίδης, Πριαμίς. Ἀλέξιος, Ἀλεξιάδης, Ἀλεξιάς. ἡ θυγάτηρ τούτων.

Εἰσὶ καὶ εἰς ωνη. Θηλυκὰ Πατρωνυμικὰ, ἀπὸ τῶν εἰς ος καθαρῶν γινόμενα Νικόλαος, Νικολαώνη, ἡ θυγάτηρ Νικολάου. ἀλλ' Αἰολικὰ ταῦτα.

Κτητικὰ ἀπὸ Κυρίων καὶ Προσηγορικῶν παραγόμενα. ὅσα δηλοῦσι κτῆσιν, καὶ Κυριότητα. Τύποι δὲ τούτων δι' ἕξης.

Ἐπίθετα.

Ακος. Κυπριακὸς, ἡλιακός. ἀπὸ Κύπριος, καὶ Ἥλιος, καθαροκαταλήκτων.

Ικος, Υκος, Εικος. Μουσικός. Πλατωνικός. λιβυκός. θηλυκός. δαρεικὸς, ἀπὸ δαρειακός.

Ειος. Ιος. Ἱππειος, Ἀχίλλειος, θαλάσσιος, λόγιος.

Εος. Ἑκτόρεος. ἀπὸ μὴ καθαροκαταλήκτων.

Ως. Πατρῷος, Μητρῷος, Ἡρῷος.

Ὑποκοριστικὰ ὅσα δηλοῦσι μικρυσμὸν, ἢ εἰρωνίαν, ἢ περιποίησιν, ἀπὸ κυρίων, ἢ προσηγορικῶν.

Ἄρσεν.

Ισκος. Ἀνθρωπίσκος. μειρακίσκος.

Ιλος. Ναυτίλος, ἀπὸ ναύτης. Προσηγορικά.

Ιων. Μωρίων ἀπὸ μωρός.

Αξ. ας. καὶ υς. Λίθαξ, μηνᾶς, ἀπὸ μηνόδωρος, Διονῦς, ἀπὸ Διονύσιος.

Θηλυκ.

Ις. Κρηνὶς, Θεραπαινὶς, ἀπὸ κρήνη, καὶ Θεράπαινα.

Ισκη. Παιδίσκη. ἀπὸ παῖς παιδός.

Οὐδέτ.

Ιον. Μειράκιον, ἀνθρώπιον, κρεάδιον βρεφύλλιον.

Ὀνάριον, Κοράσιον. λογίδριον, Ἑρμίδιον. Πολυδεύκιον, ζωΰφιον, Γύναιον. Προσηγ.

Συγκριτικὰ, δι' ὧν συγκρίνομεν καὶ παραβάλλομεν ἓν μὲ ἄλλο.

Τριγενῆ.

Τερος. Σοφώτερος, ταχύτερος, ἀληθέστερος. Παράγονται ἀπὸ σοφὸς, κακὸς, τὰ ὁποῖα λέγονται θετικά.

Ειων. ων. Πλείων, κακίων, κοινά. Ἐπίθετα.

Ὑπερθετικὰ, ὅσα δηλοῦσιν ὑπέρθεσιν, καὶ ὑπερβολήν.

Τριγενῆ.

Τατος. Σοφώτατος, ταχύτατος, ἀληθέστατος.

Ιστος. Ισος. Πλεῖστος, κάκιστος.

Περὶ τῶν εἰς ων Συγκριτικῶν, καὶ στος Ὑπερθετικῶν, δεῖ εἰδέναι ὅτι ἀνώμαλα εἰσὶ, καὶ τὰ μὲν ὑπάρχουσι πλήρη. ἔχουσι δηλ. εὔχρηστα Θετικόν. Συγκριτικὸν, καὶ Ὑπερθετικόν. σύστοιχα καὶ ὅμοια ὡς τὸ κακὸς, κακίων, κάκιστος κτλ. τὰ δὲ οὐχ ὅμοια, ὡς τὸ μέγας, μείζων, μέγιστος. πολὺς πλείων, πλεῖστος, ῥάδιος, ῥάων, ῥᾷστος, κλ. Τὰ δὲ εἰσὶν ἐλλειπῆ ἑνὸς. βελτίων, βέλτιστος. κρείττων, κράτιστος. μέσος, μεσαίτατος. ὕπατος, ὕψιστος. οἴκτιστος. μήκιστος. ἀρείων, ἄριστος. λώων, λῷστος. φέρτερος, φέρτατος, καὶ φέριστος. ἀμείνων. καὶ ἔχουσιν ὡς θετικὸν τὸ ἀγαθὸς. χείρων, χείριστος. κακίων, κάκιστος. καὶ ἔχουσιν ὡς θετικὸν τὸ κακὸς. ἐλάσσων, ἐλάχιστος. μείων, μεῖστος. καὶ ἔχουσιν ὡς θετικὸν, τὸ μικρὸς. καὶ ἔτι, θᾶσσων. ἧττων.

Παράγονται προσέτι καὶ ἀπὸ Προθέσεων, καὶ Ἐπιρρημάτων. ὀλίγα τινὰ Συγκριτικὰ καὶ Ὑπερθετικά. πρότερος, ὑπέρτατος, ἀνώτερος κατώτατος, ἐγγύτερος, ἐγγύτατος. καὶ ἀπὸ Ἀντωνυμίας, αὐτότατος.

καὶ

καὶ ἀπὸ Ῥήματος φέρτατος· καὶ ἀπὸ Προσηγορικῶν βασιλεύτατος, κύδιστος· κερδίων, κερδίστατος, κλεπτίστατος·

Παρώνυμα.

Εἰσὶ δὲ καὶ ἄλλα πλεῖστα ἐξ' ὀνόματος παράγωγα, καλούμενα ἰδιαιτέρως παρώνυμα· διαφόρους ἔχοντα καταλήξεις, ὧν οἱ ἑξῆς Τύποι.

Ἄρσεν.

Ιας·	Τραυματίας, ἐγκληματίας, ἀπὸ τραῦμα καὶ ἔγκλημα.	Προσηγορικά.
Ευς·	Ἀνθρακεύς, χαλκεύς.	
Εις· Αιος Αεος·	Χαρίεις, γηραιὸς, ῥωμαῖος, καὶ ῥωμαλέος·	Ἐπίθετα.
Ωνης· καὶ Ων·	Τελώνης, ἀπὸ τέλος· Θέων, ἀπὸ Θεός·	Προσηγορικά·
Ιτης· Ετης· Ωτης·	Οἰκέτης, πολίτης, στρατιώτης, ἱππότης·	
Ος	Διαφόρους ἔχοντα Παραληγούσας, ἀπατηλὸς, δολερὸς, λυπηρὸς, οὐράνιος, πλούσιος· καὶ τὰ καιροῦ ἢ τόπου σημαντικὰ· πεδινὸς, ὀρεινὸς, πρωϊνὸς, νυκτερινὸς, ἐαρινός·	Ἐπίθετα.

Θηλυκ·

Οτης· Ιτις·	Ἀγιότης· ἱερότης· πολίτις· πρεσβύτις·
Αινα· Οσυνη· Ισσα·	Λέαινα, δικαιοσύνη, ἱερωσύνη, βασίλισσα.
Εια· Ια· Οια· Ειρα·	Εὐγένεια, πονηρία, εὔνοια, μαθήτρια, σώτειρα.
Ιας·	Ἰλιὰς, Αἰνειὰς· ἓν Σύγγραμα Περὶ Ἰλίου· Τούτων ἄλλα προσηγορικὰ, καὶ ἄλλα Ἐπίθετα.
Οὐδέτ·	
Ιον·	Ἐμπόριον· ἀπὸ ἔμπορος·

Ῥη-

Περὶ τῶν εἰς ια· Θηλυκῶν, παρατηρεῖται, ὅτι ὅταν ἔχωσι σύστοιχα ὄνομα καὶ ῥῆμα, εἰμὲν τὰ εἰς ια σημαίνουσιν ἕξιν, ἢ φυσικὴν κατάστασιν τότε ἀπὸ τοῦ ὀνόματος παράγονται, ὡς τὸ πονηρία φιλανθρωπία ἡγεμονία παρθενία κτλ καὶ οὐκ ἀπὸ τοῦ ῥήματος, πονηρεύω, παρθενεύω κτ εἰδὲ σημαίνουσιν ἐνέργειαν μεταβατικὴν ἢ ἀμετάβατον· τότε ἀπὸ τοῦ ῥήματος καὶ οὐκ ἀπὸ τοῦ ὀνόματος παράγονται πορεία, μεθοδεία, μαστροπεία, ἐφορεία, ἀπὸ τοῦ πορεύω, μεθοδεύω μαστροπεύω, ἐφορεύω· κτ ὅθεν καὶ ἐφορία, ἀπὸ ἔφορος·

Ῥηματικά.

Τὰ δὲ Ῥηματικὰ παράγονται, ἢ ἀπὸ τῶν Ῥημάτων τοῦ πρώτου τύπου λήγοντος εἰς ω· ἢ ἀπὸ τοῦ Παρακειμένου τοῦ δευτέρου τύπου λήγοντος εἰς μαι·

Ἀπὸ τοῦ Ἐνεστῶτος τοῦ πρώτου τύπου, παράγονται ὀνόματα ἄρσεν· καὶ θηλ· εἰς ος· ἐκ τοῦ φείδω, φειδωλὸς, ἐκ τοῦ πείθω, Ἐπίθετα. πιθανὸς· κτ·

Εἰς η· Ἐκ τοῦ φῶ φωνή, ζῶ ζωὴ· κλίνω κλίνη· τίω τιμή· Προσ·

Εἰς εια· καὶ ια Ἐκ τοῦ λατρεύω λατρεία· εὐλογέω εὐλογία· Προσ·

Ἀπὸ δὲ τοῦ δευτέρου (τοῦ καὶ μέσου) Παρακειμένου· καὶ τοῦ β΄· Ἀορίστου· ἄρσεν· θηλ· οὐδέτ· εἰς ος· καὶ ευς· τύπος, λόγος, πόνος τρόπος, σπόρος, φθορεὺς, σπορεὺς, γραφεὺς, ἐκ τῶν β΄ Παρακειμ·

Εἰς Η· καὶ Α· Βολὴ, τροπὴ, σπορὰ, ἐκ τῶν αὐτῶν Παρακειμ· λαβὴ τύχη, ἐκ τοῦ ἔλαβον, ἔτυχον·

Εἰς Ος· Οὐδ· Πάθος, ἐκ τοῦ ἔπαθον· Προσηγ·

Ἀπὸ δὲ Μελλόντων ληγόντων εἰς σω παράγονται ὀνόματα ἀρσενικὰ μὲν τροπῇ τοῦ σω· εἰς νος· δείσω, δεινὸς, κλείσω, κλεινός· καὶ ἐκ τοῦ ἀρκέσω, ἀρκέσιος· Ἐπίθετα.

Θηλυκὰ δὲ τροπῇ τοῦ σω· εἰς λη· θαμάσω, θαμάλη, ἀνθήσω, ἀνθήλη· πάσω, πάλη· καὶ παπάλη, Ἀττικῶς· Ἀπὸ δὲ Μελλόντων ληγόντων εἰς ξω· τροπῇ τοῦ ξω· εἰς γλη· τρώξω, τρώγλη· ζεύξω ζεύγλη· Προσηγορικὰ πάντα·

Ἀπὸ δὲ τοῦ ά· Προσώπου τοῦ Παρακειμένου τοῦ δευτέρου Τύπου παράγονται ὀνόματα Ἀρσενικὰ, Θηλυκὰ· Οὐδέτερα·

Εἰς Μος· Λογισμὸς, δανεισμὸς, χλευασμός· Προσηγ·

Εἰς Ων·

Γ΄στέον ὅτι τὰ τοιαῦτα Ῥηματικὰ ὀφείλουσι φυλάττειν τὴν Παραλήγουσαν τοῦ Παρακειμένου, ἐξ' οὗ παράγονται· ἐξαιροῦνται ὅμως, εὕρημαι εὕρεμα, εὕρεσις εὑρετὸς, ἥρημαι αἵρεσις· αἱρετός· ἔσραμμαι,

Εἰς Ων. Μνήμων, νοήμων, φιλήμων. Ἐπίθετα Κοινά.

Εἰς η. Μέμνημαι, μνήμη, ἔστιγμαι, στιγμή. καὶ πλησμονὴ ἐκ τοῦ πέπλησμαι.

Εἰς Μα. Ποίημα, γράμμα, καὶ ἄλλα μύρια. Προσηγ. πάντα.

Ἀπὸ δὲ τοῦ β΄. Προσώπου. Θηλυκά. καὶ Οὐδέτερα.

Εἰς Ις. καὶ Ια. Λέξις, λύσις, ποίησις. κρᾶσις, βελτίωσις, καὶ ἐργασία ἀκινησία. καὶ Σύνθ. παραλυσία, ἰδιοκρασία, ἀκινησία

Εἰς Ιον. Γυμνάσιον, λογοθέσιον.

Ἀπὸ δὲ τοῦ γ΄, Προσώπου, Ἀρσενικὰ. Θηλυκὰ, Οὐδέτερα.

Εἰς Της. Κριτὴς, ποιητὴς, Θεατὴς. Προσηγ. καὶ ἐξ αὐτῶν παράγ.

Εἰς Ικος. Κριτικὸς, ποιητικὸς, δηλοῦντα ἄμφω ἐνεργειαν. ἐπίθετα

Εἰς Τος. Κριτὸς, ποιητὸς, γραπτὸς, ἐπίθ. δηλοῦντα πάθος, καὶ ἐξ αὐτῶν.

Εἰς Τεος. Κριτέος, ποιητέος. γραπτέος. Θετικὰ καλούμενα καὶ δηλοῦντα καὶ αὐτὰ παθος, ὧν τὰ οὐδέτερα, ὀνομάζονται Θετικὰ ἐπιρρήματα. καὶ σημαίνουσιν ἐνέργειαν. κριτέον, τὸν πταίστην. ποιητέον, τὴν πρᾶξιν. γραπτέον, τὰ σχόλια

Εἰς Ηρ. Κρατὴρ, σωτὴρ, ζωστὴρ, Προσ.

Αρσ. εἰς Ωρ. Ῥήτωρ. κοσμήτωρ, πράκτωρ. Προσηγ. διγενῆ.

Θηλ. εἰς Ρα. καὶ Ρις. Παλαίστρα, ὀρχήστρα, καὶ ὀρχηστρίς. Προσηγ.

Οὐδ. εἰς Ρον. Πλῆκτρον, ῥῆτρον, θήρατρον, σκῆπτρον.

Εἰς Ηριον. Ποτήριον, κριτήριον.

Πότε

μαι σπέρμα. στρέψις στρεπτὸς. τέτραμμαι. τρέψις τρεπτός. ἔσπαρμαι σπέρμα, σπαρτός. καὶ ἔτι βῆμα βάσις, βατός. σχῆμα σχέσις σχετός. καὶ μνηστός. ρωστός. καὶ γνώμη ἀπὸ ἔγνωσμαι. καὶ σώστης σωστός. προσθ. καὶ ἀφαιρ. τοῦ σ.

Τὸ δὲ θέμα ἀπὸ τέθεμαι ἀχρήστου, οὐκ ἀπὸ τοῦ τέθειμαι βιωτ. καὶ σχέσις ἀπὸ σχέσω ἔσχεμαι. ἀχρήστου. καὶ ἄφεσις ἀπὸ ἀφεσαι ἀχρήστ

Περὶ δὲ τῶν εἰς της ἰστέον. ὅτι εἰμὲν βραχεῖα παραλήγουσι παροξύνονται

Πότε τὸ ὄνομα παράγεται ἐκ τοῦ Ῥήματος.

Ὅταν τὸ ὄνομα ἔχῃ ἴσας Συλλαβὰς, ἢ καὶ περισσοτέρας τοῦ Ἐνεστῶτος τοῦ Ῥήματος. ἔχῃ δὲ καὶ τὴν αὐτὴν ἀρχὴν. τότε τὸ ὄνομα παράγεται ἐκ τοῦ Ἐνεστῶτος χρόνου τοῦ Ῥήματος. ἐκ τοῦ λατρεύω λατρεία. καὶ μαρτυρέω μαρτυρία. καὶ ἐκ τοῦ ζῶ ζωή. καὶ μαίνω μανία. καὶ φείδω φειδωλός. πλὴν εἰς ἕνια τῶν εἰς λλω, ποικίλλω, ἀγγέλλω. καὶ τῶν εἰς αιρω, καθαίρω, ἐχθαίρω. καὶ εἰς σσω. πυρετὸς, πυρέσσω. φάρμακον, φαρμάσσω. ἄγγελος, ἀγγέλλω. ἐχθρὸς, ἐχθαίρω.

Πότε δὲ τὸ Ῥῆμα παράγεται ἐκ τοῦ ὀνόματος.

Ὅταν τὸ ὄνομα ἔχῃ ὀλιγωτέρας Συλλαβὰς τοῦ Ἐνεστῶτος τοῦ Ῥήματος, ἔχῃ δὲ καὶ τὴν αὐτὴν ἀρχὴν, τότε τὸ ῥῆμα παράγεται ἐκ τοῦ ὀνόματος, οἷον ἐκ τοῦ ἐλπὶς ἐλπίζω. καὶ ταχὺς ταχύνω. καὶ ἰσχὺς ἰσχύω. καὶ ἵππος ἱππεύω. καὶ μάρτυς μαρτυρέω. καὶ ἀγάπη ἀγαπάω καὶ βίος βιόω. καὶ λάτρις λατρεύω. ὅθεν τύποι τῶν Παρωνύμων ῥημάτων εἴησαν ἂν οἱ ἑξῆς.

Εἰς Ζω. Θαυμάζω, λογίζω, δικάζω. ἀπὸ θαῦμα, λόγος, δίκη.

Εἰς Ευω. Προφητεύω, ὁδεύω, ἀπὸ προφήτης, καὶ ὁδός.

Εἰς

νονται. δότης, εὐχέτης, πλὴν κριτὴς, καὶ εὑρετής. εἰδὲ μακρᾶ φύσει, ἢ θέσει παραλήγουσι, δισύλλαβα μὲν ὄντα παροξύνονται, παίκτης, πλάστης, καὶ ὑπερδισύλλαβα δὲ ὀξύνονται, μαθητὴς, ἐραστὴς, πλὴν τοῦ δυνάστης, ἀγρώστης, δεσμώτης, ἀήτης, κυβερνήτης, ἀλείπτης.

Σημειοῦνται καὶ ὅσα ἔχουσι πρὸ τοῦ της. ἀμετάβολον. ἅπερ εἰμὲν ἄρχονται ἀπὸ φωνήεντος παροξύνονται. ὑφάντης, ἀγύρτης, εἰδὲ ἀπὸ Συμφώνου, ὀξύνονται. ποικιλτὴς, φαιδρυντὴς, πλὴν ψάλτης.

Τινὲς μεταφυσικώτερον θέλουσι τὰ ῥήματα νὰ παράγονται πάντοτε ἐκ τῶν ὀνομάτων. μὴ ὄντος γὰρ τοῦ πράγματος, ἡ μανία θηλαδὴ, πῶς ἂν γένοιτο τὸ μαίνομαι;

Εἰς Αινω. καὶ Υνω. Κυμαίνω, ταχύνω. ἀπὸ κῦμα, καὶ ταχύς.
Εἰς Ω Καθαρ. Ἰσχύω, ἀγαπάω, βιόω.

Παράγονται καὶ Ῥήματα ἐξ ἄλλων Ῥημάτων.
Τύποι δὲ ῥηματικῶν ῥημάτων, οἱ ἑξῆς.

Εἰς Υω. Πολεμησείω· γελασείω.
Εἰς Κω. Ὀλέω, ὀλέκω.
Εἰς Μι. Τίθημι, ἵστημι, δίδωμι.
Εἰς Νυω. καὶ Νυμι. Ζευγνύω ζεύγνυμι· δεικνύω δείκνυμι· ὀμνύω ὄμνυμι
Εἰς Νυω. καὶ Νυμι. Διὰ δύο νν· ἀμαρτέω ἁμαρτεννύω. ἁμαρτέννυμι. κεράω κεραννύω. κεράννυμι. χρώω χρωννύω, χρώννυμι. τίω, ἢ τίνω, τιννύω, τίννυμι.
Εἰς σκω. Ἀρέω. Ἀρέσκω, εὕρω, εὑρίσκω, ἤβάω, ἡβάσκω, βόω, βόσκω. ἀλόω, ἀλίσκω· μεθύω, μεθύσκω.
Εἰς Υμι· Δύω, δῦμι, φύω, φῦμι.
Εἰς Λνω. Τὰ μὲν ἀπὸ Περισπωμένων. αὐξέω αὐξῶ, αὐξάνω φθάω φθῶ, φθάνω. Τὰ δὲ ἀπὸ τῶν βαρυτόνων, λήθω λανθάνω· λήβω λαμβάνω. κτ. παράγονται δὲ καὶ ἐξ ἐπιῤῥημάτων ὀλίγά τινα, ἐκ τοῦ θαμὰ θαμίζω. καὶ θηθὰ θηθύνω.

Περὶ τῶν Συνθέτων ὀνομάτων καὶ Ῥημάτων.
Ὅσα δὲ σύγκεινται ἐκ δύο λέξεων, καὶ ἑνοῦνται εἰς μίαν.
ὀνομάζονται Σύνθετα.

Συν· Ἢ ἐκ δύο ὀνομάτων, ἐργοδιώκτης·
Ἢ ἐξ ὀνόματος καὶ ῥήματος. ἰχθυοπώλης, ἰχθυοπωλῶ·
τί. Ἢ ἐκ ῥήματος καὶ ὀνόματος· μισόκαλος, φιλόπονος, φιλόκαλος·
Ἢ ἐκ προθέσεως καὶ ὀνόματος. ἢ ῥήματος, ἢ ἐπιῤῥήματος·
θε. Συγγραφεὺς καταγράφει, ἐκ παλαι.
Ἢ ἐξ ἐπιῤῥήματος καὶ ὀνόματος. παλίμβουλος, μείζως, τριταί· σάριθμος, ὁμόσκηνος.

Ἢ ἐκ μορίου τινος στερητικοῦ, ἢ ἐπιτατικοῦ, καὶ ἐξ ὀνόματος, ἢ ῥήματος·

Εἰσὶ δὲ μόρια στερητικὰ μὲν· α· νη· νε· νω· ἀμαθὴς, ἀνάξιος, ἀδοξῶ· νηλεὴς, νηπενθὴς, νῆστις· νέπους, νεκηρὸς, (καὶ συγκοπῇ νεκρός·) νωθρὸς, νωδός·
Ἐπιτατικὰ δὲ, α· δου· δα· ζα· λα· αρι· ερι· ἀχανὴς, ἄβιος (ὁ λίαν χάσκων καὶ πολύβιος) βούλιμος, ὁ μέγας λιμός· δαφοινὸς, ὁ λίαν φονικός· ζάπλουτος, ὁ λίαν πλούσιος· ζάθεος, ὁ λίαν θεῖος. λαγονος, λάσιος· ἀρίδοξος, ἐρίτιμος, ὁ λίαν ἔνδοξος· καὶ πολύτιμος.
Τὸ δὲ α· καὶ ἄθροισιν σημαίνει, ὡς ἐν τῷ ἅπας, καὶ τὸ ὁμοῦ, ὡς ἐν τῷ ἄκοιτις, ἀδελφός· καὶ τὸ κακὸν ἐνίοτε, ἄφωνος, ὁ κακόφωνος·
Σημειωτέον δὲ ὅτι τὸ α· ἐν τῇ συνθέσει, ὅταν ἡ λέξις ἄρχηται ἀπὸ φωνήεντος προσλαμβάνει ν· διὰ εὐφωνίαν, ἀνόμοιος, ἀνείκαστος·
Ἔστι δὲ τι μόριον καὶ τὸ δυς, τὸ ὁποῖον Συντιθέμενον ὀνόμασί τε καὶ ῥήμασι σημαίνει ἢ κακότητα· δυστυχία, δυσωδία· ἢ δυσκολίαν· δυσνόητον, δυσκατόρθωτον·
Τὸ δὲ εὖ σημαίνει· ἢ τὸ καλὸν, εὐωδία· ἢ τὸ εὔκολον εὐκατόρθωτον

Γενικῶς δεῖ εἰδέναι ὅτι ἐν ὁποίᾳ δήποτε συνθέσει τῶν ἰσοσυλλάβων ὀνομάτων, καὶ τῶν Προστακτικῶν Ῥημάτων, βραχυκαταλήκτων, εἴτε μονοσυλλάβων, εἴτε δισυλλάβων. ὡς ἐπὶ τὸ πλεῖστον ἀναβιβάζεται ὁ τόνος· μισόκαλος, τρισάριθμος· σύνδουλος· πολύφιλος· κατάγραφε· κατάγραψον· παράλαβε· ἐπίσκεψαι· ὄψες· ἀπόθες· ἀπόδος· ἀπόβηθι· καὶ ἔτι κάθου. ἀπόθου (ὃ μετὰ μονοσυλ· προθέσεως· προσῳδεῖται·) οἱ δὲ προπερισπώμενοι χρόνοι τῆς Ὁριστικῆς ἐγκλίσεως οὐκ ἀναβιβάζουσι τὸν τόνον· εἶχε· κατεῖχε· εἶπε· προσεῖπε· πλὴν τοῦ σύνοιδα· σύνοισθα· σύνειμι· πρόσκειμαι· κάθημαι· ὁμοίως καὶ τὰ Ἀπαρέμφατα οὐκ ἀναβιβάζουσιν ἀντιλέγειν· ἀντειπεῖν· ἀντιγράψαι· ἀντικεῖσθαι·
Ἐπὶ δὲ τῶν Ὁρίστων δευτέρων τῆς Ὑποτακτικῆς, παρατηρεῖται, ὅτε

εἰμὲν ἔχει τὴν Μετοχὴν ὀξύτονον, λήγουσαν εἰς σ, φυλάττει τὸν αὐτὸν τόνον ἐν τῇ συνθέσει. βὰς, ἐὰν βῶ· καὶ ἀναβὰς· δοὺς, ἐὰν δῶ· καὶ παραδῶ· εἰδὲ μὴ, ἀναβιβάζει τὸν τόνον· σχὼν, ἐὰν σχῶ· καὶ κατάσχω· σπὰς· σπῶ. ἔσπασα· καὶ Ἀόρ. θεὺτ· ἔσπον. (ἄχρης·) καὶ σπὼν, ἐὰν σπῶ· καὶ ἐσπόν.

Ἐπὶ δὲ τῶν εἰς της ἰσοσυλλάβων ὀξυτόνων παρατηρεῖται ὅτι ὅσα μὲν ὑπερδισύλλαβα, οὐκ ἀναβιβάζουσι τὸν τόνον παιδαρεστής· συμμαθητής Ὅσα δὲ δισύλλαβα, ἀναβιβάζουσι· κριτὴς, δικαιοκρίτης· πλὴν· ἀρχιληστής.

Περὶ Προσῳδίας.

Προσῳδία ὀνομάζεται ἡ θεωρία τῶν Τόνων, τῶν Χρόνων, τῶν Πνευμάτων, τῶν Παθῶν, καὶ τῆς Στίξεως τῶν εἰς τὰς λέξεις, καὶ εἰς τοὺς λόγους ἀκολουθούντων.

Τόνος λέγεται ὁ κτύπος τῆς προφορᾶς πάσης λέξεως.

Σημεῖα δὲ τῶν Τόνων εἰς τὰ γραφόμενα εἰσὶ τρία· Ὀξεῖα· Βαρεῖα· Περισπωμένη.

Καὶ ἡ μὲν ὀξεῖα τίθεται εἰς τὴν λήγουσαν, παραλήγουσαν, προπαραλήγουσαν, καὶ ὁ κτύπος ἐστὶ σφοδρός.

Ἡ δὲ βαρεῖα τίθεται εἰς τὴν λήγουσαν μόνον ἐν τῇ συνεχείᾳ τοῦ λόγου· (α) καὶ ὁ κτύπος ἐστὶν ἐλαφρός.

Ἡ δὲ περισπωμένη τίθεται εἰς τὴν λήγουσαν, ἢ παραλήγουσαν, καὶ ὁ κτύπος ἐστὶ μεσαῖος.

Πότε Περισπᾶται ἡ Λήγουσα, εἴρηται, φύλ. 21. Ὀξύνεται δὲ ὅταν ὑπάρχῃ βραχεῖα· ἐπάνω γὰρ βραχείας Περισπωμένη οὐ τίθεται.

Πότε δὲ Περισπᾶται ἡ Παραλήγουσα λέγομεν ἤδη.

Φύσει μακρὸν πρὸ βραχέος κείμενον περισπᾶται· πρῶτος· μοῦσα· πρῶτοι.

(α) Συνέπεια λέγεται ὅταν ἡ λέξις ἡ ἔχουσα τὸν τόνον ἐν τῇ ληγούσῃ ὑπάρχῃ ἐν τῷ μέσῳ τῆς περιόδου, καὶ οὐχὶ ἐν τῷ τέλει· ὁ Ἰωσὴφ ἀγαθὸς νέος, (ἐπὶ τοῦ Ἰωσὴφ καὶ ἀγαθὸς

τοι· μοῦσαι· ὅτι ἡ αι· καὶ ἡ οι· ἐν τῷ τέλει τῆς λέξεως ἀντὶ βραχέων λαμβάνονται, ἐξαιροῦνται τὰ Εὐκτικὰ Ῥήματα· τύπτοι· ποιήσαι· καὶ τὰ Ἐπιῤῥήματα οἴμοι· οἴκοι· καὶ τὰ συνῃρημένα ταῦτα· λητοῖ· ποιέοι· ποιοῖ ὅτι μακρὰν ἔχουσι τὴν διφθογγον. Βραχὺ δὲ πρὸ βραχέος· καὶ πρὸ μακροῦ· καὶ μακρὸν πρὸ μακροῦ ὀξύνονται· Καὶ τὰ μὲν φύσει μακρὰ φωνήεντα, εἰσὶν ἀεὶ μακρά· καὶ τὰ φύσει βραχέα, ἀεὶ βραχέα ἢ Κοινὰ (α) τὰ δὲ δίχρονα ὡς λαμβανόμενα ποτὲ μὲν ὡς μακρὰ, ποτὲ δὲ ὡς βραχέα κανονίζονται οὕτως· ἵνα ἐκ τούτων καὶ τοῦ Τόνου μάθομεν.

Χρόνος μὲν οὖν τῶν φωνηέντων λέγεται ἡ μακρότης καὶ βραχύτης τῆς φωνῆς αὐτῶν· εἰσὶ δὲ Χρόνοι δύο· Μακρὸς· (τοῦ ὁποίου σημεῖόν ἐστι μία εὐθεῖα γραμμὴ ——) καὶ Βραχὺς· (τοῦ ὁποίου σημεῖόν ἐστι μία κυρτὴ γραμμὴ υ) τὰ ὁποῖα πάλαι μὲν ἐτίθεντο ἐπάνω τῶν μακρῶν καὶ βραχέων, νῦν δὲ οὐκ ἐν χρήσει εἰσὶν, ἐπειδὴ καὶ ἡ προφορὰ αὐτῶν ἐξέλιπεν· ἡ δὲ ὀνομασθεῖσα ὑπογεγραμμένη ἐν χρήσει ἐστὶ· καὶ πᾶν τὸ ὑπογραφόμενον μακρὸν γίνεται, καὶ Δίφθογγος καταχρηστικὴ καλεῖται·

Ὑπογράφονται δὲ ταῦτα.

„ Τῶν ὀνομάτων δοτικαὶ καὶ αἱ εἰς ἥτα λήγουσαι εἰς ἄλφα καὶ ὦμέγα· ὑπογράφουαι μάλα·

„ Ῥημάτων Βαρυτόνων δὲ τὸ α καὶ η ὦμέγα τε καὶ τῶν Περισπωμένων· ἐκ τῶν εἰς Μι ληγόντων·

„ Πλὴν Λορίστου τοῦ εἰς ην καὶ τοῦ εἰς ω· ἐκ τῶν εἰς Μι τοῦ τύπου τοῦ δευτέρου· ὑποτακτικῆς πρώτου. (β)

Καὶ

Θὸς ἐτέθη βαρεῖα, διότι ἐν συνεχείᾳ τοῦ λόγου ἐστὶ) ὁ Ἰωσὴφ νέος ἀγαθὸς ἢ ἀγαθὸς νέος ὁ Ἰωσὴφ τίθεται ὀξεῖα διότι ἐν τέλει περιόδου ἐστὶ, καὶ οὐκ ἐν συνεπείᾳ, καὶ ἀκολούθῳ συνεχείᾳ.

(α) Κοιναὶ γίνονται τὰ βραχέα ὅταν ἀκολουθῇ ἄφωνον πρὸ ἀμεταβόλου ἔκρινα θέσει δὲ μακρα, ὅταν ἀκολουθωσι δύο σύμφωνα, ἢ ἓν ἀπὸ τὰ διπλᾶ. ἔφθειρον, ἔκτεινον, ἔξεων, ἔζων

(β) Δηλ. τοῦ Πρώτου Προσώπου τῆς Ὑποτακτικῆς τῶν εἰς Μι. ὅσερ οὐχ' ὑπογρα-

„ Καὶ ἐν τῇ μὴ λιγούσῃ δὲ ἄδης· ἀεί· ὰς· ᾄδει· σῶς· καὶ καλλιπάρῃος.
„ Δηῶ· Θρησκεύω· ἀκοδῶν· κώδιον· καὶ καλώδιον.
ὦα· ὠδή· πρῶρα· Τρῳάς· ἔτι τὸ ᾖδειν· εὕρηται· τὰ κτητικὰ ἐπίθετα.
„ Καὶ τῶν Ἐπιῤῥημάτων δὲ, ὄδη τε δὴ καὶ δηλαδή.
ὑπογράφονται ταῦτα.
Θρᾴξ· πρᾶος· ῥᾴδιοι· ῥᾷστα· γῆδιον· χρῄζω· λῄζω· ζῷον· ἀθῷος· κλῄζω· Ἠρώδης(κῶνος· λῷον· τραγῳδῶ· ὑπερῷον· καὶ πάντα τὰ εἰς ως· πατρῷος· καὶ ἡρῷος· τὰ εἰς η πλὴν ὀλίγων· ἢ· μή· νή καὶ οὐκ ἄλλων·

Περὶ Χρόνου τῆς Λιγούσης τῶν Ἰσοσυλλάβων. Τὰ Εἰς.

Ας Ἀρσενικὰ Πρωτόκλιτα μακρὸν ἔχουσι τὸ α. Αἰνείας· κοχλίας· Α· Καθαρὸν δευτερόκλ. ὀξύτονα ἢ παροξύτονα. εἰμέν εἰσι μονογενῆ μακρὸν ἔχουσι τὸ α. ϛοά, λαλιά· Τροία· ῥέα· ὑγεία· πρεσβεία· σοφία· πλὴν τοῦ μυῖα· καὶ ὦα· εἰδέ εἰσι τριγενῆ, φυλάττουσι τὸν χρόνον τοῦ τέλους τῆς γενικῆς τοῦ ἀρσενικοῦ· θεῖος, θείου, θεία· ταχὺς, ταχέος, ταχεῖα· τετυφότος, τετυφεῖα· πλὴν τοῦ πότνιος, πότνια· καὶ θία, χῖα· ὡς ἐκ συναιρέσεως.

Ὅσα Παραλήγουσιν εἰς αι, τὰ μὲν δισύλλαβα ἔχουσι βραχεῖαν τὴν λήγουσαν, μαῖα· τὰ δὲ ὑπερδισύλλαβα, μακρὰν, σεληναία.

Ὅσα λήγουσιν εἰς Δα· Θα· Λα· Μα· μακρὰν ἔχουσι τὴν λήγουσαν λήθα, κισαίθα, φιλομήλα, Διοτίμα· πλὴν τοῦ ἄκανθα, καὶ τῶν δισυλλάβων· σκύλλα, παῦλα·

Ὅσα εἰς Ρα ἔχουσι δίφθογγον εἰς τὴν παραλήγουσαν, βραχὺ ἔχουσι τὸ α· μοῖρα, πεῖρα, ἐξαιρεῖται σαύρα, αὔρα, λαύρα, ἑτέρα· καὶ τὰ ἔχοντα τὸ ρ· μετὰ συμφώνου, φαίδρα, μήτρα·

Ὅσα δὲ ἔχουσιν ἄλλο τι φωνῆεν εἰς τὴν παραλήγουσαν, μακρὸν ἔχουσι τὸ α·

γράφεται, ἀλλὰ τὸ δεύτερον καὶ τρίτον μόνον (ἐὰν τιθῶ, τιθῇς, τιθῇ· ἰϛῶ, ἰϛᾷς, ἰϛᾷ· δίδω, δίδῳς, δίδῳ·

τὸ α· θήρα, ἡμέρα, λύρα, ὥρα· πλὴν πρῶρα, καὶ σφῦρα· καὶ τῶν προπαροξυτόνων ἄγκυρα· Τὰ δ' ἄλλα πάντα βραχυκαταληκτεῖ·

Περὶ Χρόνου τῆς Παραλιγούσης τῶν Ἰσοσυλλάβων.

Ε'κ τῶν εἰς Ινος μακρὸν ἔχουσι τὸ παραλῆγον δίχρονον, ὅσα κύρια ἢ προσηγορικὰ, ἢ ἐπώνυμα, ἢ ἐθνικά· Κωνϛαντῖνος, Λατῖνος, Ἰκτῖνος, θῦνος· πλὴν ἐχῖνος, καρκῖνος, πῖνος, καὶ τὰ ἐκ τοῦ γυνή·

Τὰ εἰς Ιλος βραχὺ ἔχουσι τὸ δίχρονον, πλὴν πῖλος, σμῖλος, καὶ σπῖλος τῷ μακρῷ ἰῶτα·

Τὰ εἰς Υρος μακρὸν ἔχουσι τὸ δίχρονον, πλὴν ἁλμυρὸς, καὶ ξυρός·

Τὰ εἰς Ιμος δισύλλαβα ὁμοίως· μῖμος, πλὴν τοῦ θύμος·

Τὰ εἰς Ινα, ὡς τὸ Μαρῖνα· καὶ τὰ εἰς Ινη δισύλλαβα καὶ ὑπερτρισύλλαβα (ἀλλὰ καὶ ἕνια τρισύλλαβα παρὰ Ποιηταῖς) μακρὰν ἔχουσι τὴν παραλήγουσαν· ἐξαιροῦνται ειλαπίνη· κλίνη· καὶ τὰ ἐπὶ πόλεων·

Τὰ εἰς Υνη δισύλλαβα, μακρὸν· μύνη, πλὴν γυνή· Τὰ δὲ ὑπερδισύλλαβα βραχὺ ἔχουσιν τὸ υ·

Ε'κ τῶν εἰς Υρα, τὰ μὲν προπαροξύτονα ἔχουσι μακρὸν τὸ υ· τὰ δὲ παροξύτονα καὶ τὰ δισύλλαβα, βραχὺ, θύρα, πλὴν πλημμύρα, καὶ σφῦρα·

Ε'κ τῶν εἰς Ου οὐδετέρων, τὰ μὲν μονογενῆ βραχυπαραληκτοῦσι· πλὴν ἆθλον, φῦλον, σῦκον, σμῖλον, σκῦλον, τὰ δὲ τριγενῆ, ὡς τὰ ἀρσενικά·

Χρόνος Λιγούσης τῶν Περιττοσυλλάβων, καὶ τῆς Παραλιγούσης· ἐν ταῖς λοιπαῖς Πτώσεσι. Τὰ Εἰς.

Ας· Αψ· Υψ· ἀρσενικὰ βαρύτονα, καὶ αἱ ὀξύτονοι Μετοχαὶ, καὶ τὰ εἰς ψ λήγοντα μετὰ διχρόνου, ἐν μὲν τῇ ὀνομαϛικῇ μακρὸν ἔχουσι τὸ δίχρονον· ἐν δὲ ταῖς λοιπαῖς Πτώσεσι, βραχύ· Τὰ δὲ εἰς ας ὀξύτονα, βραχὺ ἀεί· πλὴν ἱμάς, ἀνδριάς·

Αν· Αρ· Ιν· μακρὸν ἔχουσι τὸ δίχρονον ἐν πάσῃ Πτώσει· παιᾶνος, δελφῖνος, κᾶρες, πλὴν Καῖσαρ·

Αυς· καὶ Ις· ὁμοίως· γοῦς, γρᾶες, λὶς, λῖες, ῖς, ἶνες· πλὴν τὶς τίνες·

Υς· καὶ Ις· δισύλλαβα ἢ τρισύλλαβα· διὰ τοῦ δος κλινόμενα, βραχὺ ἔχουσι τὸ δίχρονον ἐν πάσῃ Πτώσει, ἐξαιροῦνται βαλβῖδος, κνημῖδος, ἀψῖδος, καὶ τὰ ἔχοντα δύο βραχέα προηγούμενα κεραμῖδος, πλοκαμῖδος·

Αξ· Υξ· καὶ Ιξ· μονοσύλλαβα μέν, βραχὺ ἔχουσι τὸ δίχρονον ἐν τῇ ὀνομαστικῇ, μακρὸν δὲ ἐν ταῖς λοιπαῖς, βλὰξ, βλᾶκα, βλᾶκες· θρὶξ τρῖχα, τρῖχες· σὺξ, σῦγα· φρὺξ, φρῦγα· μὴ μονοσύλλαβα δὲ, εἰμὲν ἀρσενικὰ, τὴν μὲν Παραλήγουσαν βραχεῖαν (ὅτε δίχρονον ἐστι·) τὴν δὲ Λήγουσαν μακράν· λάβραξ, θώραξ, κήρυξ, φοίνιξ· εἰδὲ Θηλυκὰ, βραχεῖαν μὲν τὴν λήγουσαν ἐν τῇ ὀνομαστικῇ χοῖνιξ, αὖλαξ· μακρὰν δὲ ἐν ταῖς λοιπαῖς· τὸ δὲ ῥὰξ, καὶ θρὰξ ἀεὶ μακρὸν φυλάττει· τὰ δὲ μονοσύλλαβα Θηλυκὰ βραχύνονται, πλὰξ, πλακὸς, πλάκα· καὶ ἄλλα τινά· ἡ δὲ παραλήγουσα τῆς ὀνομαστικῆς δίχρονον οὖσα, εἰμὲν ἐστι πρωτότυπος, βραχυπαραληκτεῖ, εἰδὲ ἐστι παράγωγος, κατὰ τὸ παράγον, ὡς ἐπὶ τὸ πλεῖστον, ἢ καὶ βραχύτερον.

Τὰ εἰς Υς ὀξύτονα καὶ περισπώμενα μονοσύλλαβα καὶ μὴ, διὰ τοῦ ος καθαροῦ κλινόμενα, μακρὸν μὲν ἐν τῇ ὀνομαστικῇ, ἰχθῦς, νηδὺς μῦς, κτλ· βραχὺ δὲ ἐν ταῖς λοιπαῖς· ἰχθύος, νηδύος, μυὸς, δρυός·

Αων· καὶ Ιων· μὴ κύρια, δισύλλαβα, μακρὰν ἔχουσι τὴν παραλήγουσαν, μαχάων, πρίων, χιών, κτ·

Ιτις· καὶ Υτις Θηλυκά· βραχεῖαν τὴν λήγουσαν, μακρὰν δὲ τὴν παραλήγουσαν· πολῖτις· πρεσβῦτις· καὶ ἔτι νεᾶνις·

Ισις· καὶ Υσις· εἰμὲν ῥηματικὰ, ὡς τὸ ῥῆμα· τὸ δὲ φᾶσις· (ἀπὸ τοῦ φημὶ καὶ τοῦ φαίνω) καὶ τὸ βάσις, βραχυκατάληκτα·

Πάντα τὰ διχρονοκατάληκτα οὐδέτερα βραχεῖαν ἔχουσι τὴν λήγουσαν πλὴν τῶν στοιχείων· μῦ· νῦ· ξῦ· πῖ· φῖ· χῖ· ψῖ· τὴν δὲ παραλήγουσαν· τὰ μὲν καθαρὰ ἔχουσι μακρὰν· κῦμα· κρῆμα· νᾶμα· τὰ δὲ μὴ

μὴ καθαρὰ, βραχεῖαν· πῦσμα, τάγμα, πλὴν πρᾶγμα· καὶ δρᾶγμα·

Ε'κ δὲ τῶν εἰς Ος, τὸ φᾶρος, στρᾶγος, πῖος, γρῖφος, σῖφος, μῖσος, μῦσος, κῦδος, φῦκος, κῦρος, ψῦχος, κῦτος, σκῦτος·

Περὶ Χρόνου Παραληγούσης τῶν Ῥημάτων· Ἐνεστώς·

Τὰ εἰς Αω· ὅσα ἔχουσι πρὸ τοῦ α φωνῆεν ἢ ρ· μακροπαραληκτοῦσιν· ἐάω, περάω· πλὴν ἀνιάω, ἀμφιάω, ἀποχράω·

Ε'κ τῶν εἰς Ανω· τὸ ἱκάνω, κιχράνω·

Τὰ εἰς Ινω· Υνω· Υρω· Υχω· μακροπαραληκτοῦσι·

Τὰ εἰς Υω· ὅσα ἔχουσι πρὸ τοῦ υ δύο σύμφωνα, ἢ ἄλλο μακρὸν, ἐκεῖνα μακροπαραληκτοῦσι· πτύω, ἱδρύω, ἡμύω· τὰ δ' ἄλλα διφοροῦνται·

Τὰ δὲ εἰς Ιω, ὅσα περισπώμενα, βραχυπαραληκτοῦσιν, ἐρυθριῶ, ἐστιῶ ὅσα δὲ βαρύτονα, διφοροῦνται· μηνίω, κονίω· πλὴν τοῦ ἐσθίω, καὶ τῶν δισυλλάβων· πρίω, τίω, χρίω·

Διφοροῦνται ἔτι τὸ βρίθω, πύθω, σύφω, τύφω, ψύχω, τρύχω, σμύχω, βρύχω, κύπτω, πνίγω· Τὸ δὲ πράττω, πιπράσκω, καὶ φρίττω μακροπαραληκτοῦσι· ὁμοίως καὶ ὅσα παράγονται ἀπὸ ὀνομάτων μακροπαραλήκτων·

Τῶν δὲ εἰς μι, ἡ μὲν λήγουσα ἀεὶ βραχεῖα, ἡ δὲ παραλήγουσα μακρά· ζεύγνυμι, δῦμι· ὁμοίως καὶ τὰ πληθυντικὰ τρίτα πρόσωπα εἰς Ασι· καὶ Υσι· ἱστᾶσι, φασὶ, ζευγνῦσι·

Μέλλων·

Ε'κ τῶν εἰς Ιω καὶ Υω· ὅσα διφοροῦνται ἐν τῷ ἑνεστῶτι, μακροπαράληκτον ἔχουσι τὸν μέλλοντα· μηνίσω, θύσω, κονίσω, δακρύσω·

Τὰ εἰς ἀμεταβολὸν λήγοντα, βραχυπαραληκτον ἔχουσι τὸν μέλλοντα· νεμῶ, κρινῶ, σπερῶ, ψαλῶ·

Παρακείμενος·

Ὁ Παρακείμενος καὶ Ὑπερσυντελικὸς· ἰσοχρονοῦσι τῷ ἰδίῳ Μέλλοντι·

Ἀόρι-

Ἀόριστος.

Ὁ Ἀόριστος ἀ. τῶν μὲν εἰς ἀμετάβολον μακρὰν ἔχει τὴν παραλήγουσαν· ἔκρινα, ἐσήμανα· τῶν δὲ λοιπῶν ὁ Ἀόριστος ἰσοχρονεῖ τῷ ἐνεστῶτι Μέλλοντι.

Τὰ εἰς Θι Προσακτικὰ δισύλλαβα, καὶ οἱ εἰς ναι Ἀόριστοι τῶν Βαρυτόνων Ἀπαρεμφάτων, μακρὰν ἔχουσι τὴν Παραλήγουσαν· κλῦθι, φᾶθι, κρῖναι, φᾶναι· ἐκ τοῦ φαίνω· πλὴν τοῦ ἴθι, καὶ ἔσθι· τὸ δὲ φάναι ἐκ τοῦ φημί· Ἐνεστῶτος χρόνου ἐστί· καὶ οἱ ἐνεστῶτες εἰς αναι καὶ υναι τῶν εἰς Μι, βραχυπαραληκτοῦσιν, ἑστάναι, ζευγνύναι· πλὴν τοῦ εἶναι.

Ἐκ τῶν εἰς Σαι Ἀπαρεμφάτων, καὶ ἐκ τῶν εἰς Ον Λορίσων πρώτων τῆς Προσακτικῆς, μακρὸν ἔχουσι τὸ παραλῆγον δίχρονον· τὸ θῦσαι· καὶ θῦσον· τὸ λῦσαι, καὶ λῦσον· μῦσαι, καὶ μῦσον· κῦσαι, καὶ ὖσαι· Καὶ ἔτι τὰ ἔχοντα τὸ α ἐκ τῶν εἰς αω γινόμενα· ἐᾶσαι, περᾶσαι· καὶ ἔτι τὸ πρᾶξαι.

Ἐκ τῶν Παρακειμένων τοῦ παθητικοῦ ἀπαρεμφάτου οἱ ἀπὸ δισυλλάβου ῥήματος εἰς ω καθαροῦ γινόμενοι, καὶ μὴ προσλαμβάνοντες σ ἐν τῷ παθητικῷ παρακειμένῳ· θύω, τέθυμαι, τεθῦσθαι· δύω, δέδυμαι, δεδῦσθαι· χέω, κέχυμαι, κεχῦσθαι, λύω, λέλυμαι, λελῦσθαι· φύω, πέφυμαι, πεφῦσθαι· Τούτοις ἠκολούθησε καὶ τὸ πέπαμαι, πεπᾶσθαι· κέκραμαι, κεκρᾶσθαι· πέπραμαι, πεπρᾶσθαι· ἔσαμαι, ἐσᾶσθαι· πέπραγμαι, πεπρᾶχθαι· ἶγμαι, ἶχθαι·

Πᾶσα Μετοχὴ ἐνεργητικὴ θηλυκοῦ γένους παροξύτονος, Λήγουσαν μὲν ἔχει βραχεῖαν· Παραλήγουσαν δὲ μακράν· τετυφεῖα, τιθεῖσα, ἑστᾶσα, ζευγνῦσα, φῦσα·

Περὶ τῆς Ληγούσης τῶν Πλαγίων Πτώσεων·

Ἡ Γενικὴ καὶ Δοτικὴ τῶν μὲν Ἰσοσυλλάβων μακρὰν ἔχει τὴν λήγουσαν· τῶν δὲ Περιττοσυλλάβων, βραχεῖαν.

Ἡ Αἰτιατικὴ τῶν μὲν ἰσοσυλλάβων ὁμοία κατὰ τὸν Χρόνον μὲ τὴν Ὀνο-

μαστικὴν, τῶν δὲ Περιττοσυλλάβων, μὲ τὴν Γενικήν·

Πᾶσα Κλητικὴ τὸν ἴσον Χρόνον μὲ τὴν Ὀνομαστικήν· Αἰνείας, ὦ Αἰνεία· ἢ καὶ ἐλάττονα· Προφήτης, ὦ Προφῆτα· μείζονα δὲ οὐδέ ποτε·

Ἡ Δυϊκὴ Ὀνομαστικὴ καὶ Κλητικὴ, τῶν μὲν ἰσοσυλλάβων μακροκαταληκτεῖ· τῶν δὲ Περιττοσυλλάβων, βραχυκαταληκτεῖ·

Ἡ Δυϊκὴ καὶ Πληθυντικὴ Γενικὴ ἀεὶ μακροκαταληκτεῖ, εἰς οιν καὶ ων

Ἡ Πληθυντικὴ Ὀνομαστικὴ καὶ Κλητικὴ ἀεὶ βραχυκαταληκτεῖ·

Ἡ Δοτικὴ Πληθυντικὴ τῶν μὲν ἰσοσυλλάβων μακροκαταληκτεῖ, τῶν δὲ Περιττοσυλλάβων βραχυκαταληκτεῖ·

Ἡ Αἰτιατικὴ Πληθυντικὴ τῶν μὲν Ἰσοσυλλάβων μακροκαταληκτεῖ, τῶν δὲ Περιττοσυλλάβων βραχυκαταληκτεῖ·

Περὶ Πνευμάτων·

Πνεύματα εἰσὶ δύο, ὡς εἴρηται· Δασεῖα ῾ καὶ Ψιλὴ ᾽·

Καὶ πᾶσα μὲν λέξις ἀρχομένη ἀπὸ φωνήεντος, ἢ δασύνεται, ἢ ψιλοῦται· ὁποῖα δὲ δασύνονται προεγράφη· φύλ· 4·

Περὶ Παθῶν.

Πάθη κατὰ γραμματικοὺς εἰσὶν ἐκτροπαί τινες τοῦ φυσικοῦ χαρακτῆρος τῶν λέξεων· Τοιαῦτα δέ εἰσιν, ὁ Διπλασιασμὸς, καὶ ἡ μεταβολὴ τῶν Συμφώνων· ἡ Συναλοιφὴ τῶν Φωνηέντων· ἡ Διάλυσις· ἡ Μετάθεσις τοῦ Τόνου· καὶ ὁ Ἐφελκυσμὸς ἴσως·

Διπλασιάζονται ἐκ τῶν Συμφώνων τὰ Μέσα, τὰ Ψιλά, τὰ Ἀμετάβολα, καὶ τὸ Σ. Γίνεται δὲ ὁ Διπλασιασμὸς·

Α΄· Ἀπὸ Παραγωγῆς· καθὼς τὰ εἰς σα, ὅσα γίνονται ἀπὸ Ἀρσενικῶν ληγόντων εἰς ξ. ψ· καὶ σ· ἄναξ, ἄνασσα· φάψ, φᾶσσα· χαρίεις, χαρίεσσα· λίβυς, λίβυσσα· καὶ ἐκ τοῦ τίνω, τιννύω· κτείνω, κτεινύω· κτ·

Β΄· Ἀπὸ Συλλαβικῆς αὐξήσεως, ὅτε τὸ ῥῆμα ἄρχεται ἀπὸ ρ· ῥίπτω, ἔρριπτον·

Γ΄. Ἐκ συνθέσεως, εἰς τὴν ὁποίαν γίνεται Διπλασιασμὸς Συμφώνου, ἢ ἀπὸ Συμπτώσεως χωρὶς Μεταβολῆς. ὡς τὰ, Ἐκκλησία, σύννους· καὶ τὰ ἀπὸ ρ ἀρχόμενα ὅταν συντεθῶσι μὲ ὁποιονδήποτε μόριον, Ἐπίρρημα, ἄρρωστος (πλὴν τῆς Πρὸς καὶ Εὐ· Πρόσρημα, εὔρωστος.)

Η΄ ἀπὸ μεταβολῆς, αἱ γὰρ προθέσεις αἱ λήγουσαι εἰς ν· ὅταν συντεθῶσι μὲ λέξεις ἀρχομένας ἀπὸ γ· λ· μ· ρ· σ· μεταβάλλουσι τὸ ν εἰς αὐτὰ τὰ ἴδια Σύμφωνα, ἐξ ὧν ἄρχονται αἱ ἑπόμεναι λέξεις. (καὶ τότε γίνεται Διπλασιασμὸς συμφώνων ἐκ Μεταβολῆς) ὡς τὰ, ἐγγηράσκω, συγγενὴς, ἐλλιμενίζω, συλλαλῶ, ἔμμετρος, σύμμετρος, συρράπτω, συσσείω (πλὴν τῆς ἐν πρὸ τοῦ ρ, καὶ σ καὶ λ· ἐνράπτω, ἐνσείω, ἐνζητῶ· καὶ πλὴν τῆς Σὺν πρὸ τοῦ ζ· ἢ πρὸ δύο συμφώνων ἀποβαλλούσης τὸ ν· συζητῶ· συζέλλω, σύσκηνος. (α)

Δ΄. Διὰ τὸ μέτρον παρὰ τοῖς Ποιηταῖς μόνον, ὅττι, ἔδδεισε· ὥσπερ διπλασιάζουσι τὸ β· δ· π· ἀπὸ μεταβολῆς προηγουμένου τ· κάββαλεν, ἀπὸ κατέβαλε· κάππεσεν, ἀπὸ κατέπεσε· καδδὲ, ἀπὸ τοῦ κατὰ δέ. Ποιητικὰ δὲ ταῦτα.

Ε΄. Ἀπὸ Κανόνων καὶ παραδόσεως· ὅτι τὰ εἰς ιλλα ὀνόματα, καὶ τὰ εἰς λω ῥήματα, ὅσα οὐκ ἔχουσι φύσει μακρὰν παραλήγουσαν διὰ δύο λλ γράφονται· ἄμιλλα, σκύλλα, θάλλω, μέλλω· ποικίλλω, ἀγγέλλω, βδύλλω, ὄλλω· (πλὴν θέλω, πέλω, ἕλω, καὶ μέλει·) ὅτι τὰ ἐκ τοῦ καλὸς Σύνθετα διπλασιάζουσι τὸ λ· καλλίτερος, κάλλιστος.

Ἔτι ἐκ Παραδόσεως καὶ ἄλλα πολλὰ, κάδδος, ἵππος, κόκκος· Ἀττικὴ· πίννα, γλῶσσα, Σάββατον, πόρρω, καὶ ἄλλα πολλὰ· περὶ ὧν ἐν τοῖς λεξικοῖς παρατηρητέον.

Μεταβολὴ δὲ γίνεται τοῦ Ν· πρὸ μὲν τοῦ κ· χ· ξ· εἰς γ· ἐγκέφαλος συγχέω, σύγξενος· πρὸ δὲ τοῦ β· π· φ· ψ· εἰς μ· σύμβουλος, συμπότης, σύμψηφος, σύμφωνος.

Συνα-

(α) Οὕτω καὶ τὸ ἄγαν πρὸ παντὸς συμφώνου, ἀγάζηλος, ἀγασθενὴς, πλὴν πρὸ τοῦ ν· ἀγάννιφος.

Συναλοιφή.

Ἡ δὲ Συναλοιφὴ γίνεται κατὰ τρόπους τρεῖς· κατὰ Θλῖψιν, κατὰ Κρᾶσιν, κατὰ Συναίρεσιν· παρὰ Γραμματικοῖς.

Θλῖψις ὀνομάζεται ἡ ἀποβολὴ ἑνὸς βραχέος φωνήεντος ἐν τῷ τέλει τῆς λέξεως, ὅταν ἄρχηται ἡ ἑπομένη λέξις ἀπὸ φωνήεντος· ἀποβάλλονται δὲ ἀεὶ· τὸ ε· τὸ ο· καὶ τὸ α· ι· αι· οι· βραχέα ὄντα· φέρ' εἰπὲ, τοῦτ' ἐμὸν, ἆρ' οὗτος, οὐδ' ἔφη, κατ' ἐμὲ, ἐπ' αὐτὸν, βούλομ' ἐγὼ, οἴμ' ὡς ἄχθομαι.

Ἀκολουθεῖ ἐνίοτε σὺν τῇ Θλίψει καὶ μεταβολὴ τοῦ ψιλοῦ εἰς δασύ· ὅταν τὸ ἑπόμενον φωνῆεν δασύνεται· ἐφ' ἡμᾶς, ἀφορᾷ.

Κρᾶσις.

Κρᾶσίς ἐστι δύο Φωνηέντων ἕνωσις, ἢ εἰς ἓν ἐξ αὐτῶν, ἀληθέων, ἀληθῶν, ποιέω, ποιῶ· ἢ εἰς ἕτερόν τι, ἀληθέα, ἀληθῆ.

Καὶ ἡ εἰς τὸ τέλος τῆς λέξεως γίνεται, καθὼς εἰς τὰ περισπώμενα ῥήματα καὶ ὀνόματα, ἢ ἐν τῇ ἀρχῇ τῆς λέξεως Ἀττικῶς εἰς ἐνίας λέξεις μόνον· τὸ ἐμὸν, τοὐμόν· τἀμά· πρὸ ἔργου, προὔργου.

Σημεῖον δὲ τῆς ἐν ἀρχῇ τῆς λέξεως Κράσεως, ἢ τῆς Θλίψεως, τίθεται μία ψιλὴ, καλουμένη Ἀπόστροφος· κατ' ἐμὲ, τοὐμὸν, προὔδωκεν ὁ προὔχων, ὡς ἐγῷμαι.

Συναίρεσις.

Συναίρεσίς ἐστιν, ἕνωσις δύο Φωνηέντων φυλαττομένων, ἢ καὶ τῶν δύο, πλὴν ἑνουμένων εἰς μίαν Δίφθογγον. ὄφεϊ, ὄφει, πόλεϊ, πόλει· νηρηΐδες, νηρῇδες· ἢ φυλαττομένου τοῦ ἑνὸς μόνου· ἀληθέες, ἀληθεῖς· ποιέε, ποιεῖ· αἰδόος, αἰδοῦς· χρύσοε, χρύσου.

Θλῖψις ὁμοῦ καὶ Κρᾶσίς ἐστιν εἰς τὸ κἀγὼ, κἀκεῖνος, καὶ εἰς τὸ ἄτερος, ἀτέρα· ἀντὶ ὁ ἕτερος, καὶ ἡ ἑτέρα. ἅμα δὲ καὶ Μεταβολὴ, ἐν τῇ Γενικῇ καὶ Δοτικῇ, τοῦ ἀρσενικοῦ καὶ οὐδετέρου, τοῦ ἑτέρου,

Θατέ-

θατέρου· τῷ ἑτέρῳ, θατέρῳ· οὐχὶ δὲ καὶ εἰς τὰς λοιπὰς πτώσεις, ὅπου τελειώνει τὸ ἄρθρον εἰς ν, ἢ σ· ὅρα φύλ· 72

****

Διάλυσις·

Διαλυσίς ἐστιν ὁ διαχωρισμὸς δύο Φωνηέντων, ἵνα μὴ νομίζωνται τὰ δύο ὡς μία Δίφθογγος· Σημεῖα δὲ αὐτῆς εἰσι δύο στιγμαὶ· τιθέμεναι ἄνω τοῦ χωριζομένου Φωνήεντος· παΐς, παΐς· ἀληθεΐ, ἀληθεΐ· γήρᾳ γήραϊ· ἄϋλος, ἄϋπνος·

Διάλυσις ἔτι ἐστὶ καὶ ὁ διαχωρισμὸς δύο Συλλαβῶν, ἵνα μὴ νομίζωνται ὡς μία λέξις. Σημεῖον δὲ ταύτης, ἡ διαζολὴ, τιθεμένη ἐν μέσῳ δύο συλλαβῶν· ὅ, τε Πέτρος, τό, τε παιδίον, ὅ, τι ἂν εἴπωσι· πρὸς διαφορὰν τοῦ ὅτε, τότε, καὶ ὅτι·

Μετάθεσις Τόνου· ἢ Ἐγκλινόμενα·

Συμβαίνει πολλάκις καὶ Μετάθεσις τοῦ Τόνου ἀπὸ μιᾶς λέξεως εἰς ἄλλην· ἕλκει γὰρ ἡ ἡγουμένη τὸν Τόνον τῆς ἑπομένης· καὶ τοῦτο ὀνομάζεται Ἐγκλισις Τόνου, γινομένη ἐπὶ μονοσυλλάβων ἢ δισυλλάβων λέξεων· καὶ αἱ λέξεις λέγονται Ἐγκλινόμεναι·

Ἐγκλίνονται οὖν ἐκ τῶν ἄρθρων ταῦτα· τοῦ· τῷ· ὅταν λαμβάνωνται ἀντὶ Ἀορίστων, καὶ ἑπακολουθῶσιν ἢ εἰς ὄνομα, διδασκάλου του· ἢ εἰς τὸ ἄρθρον, Ὁ· ὅτου·

Ἐκ τῶν Πρωτοτύπων Ἀντωνυμιῶν αἱ πλάγιαι Πτώσεις τοῦ ἑνικοῦ ἀριθμοῦ, ὅταν ἔπωνται· ἤκουσάς μου, ἔτυψά σε, ἔδωκα οἱ· ἐφίλησα ἑ· καὶ τοῦ Δυϊκοῦ ἀριθμοῦ· σφέ, σφίν· οὐχὶ δὲ καὶ τοῦ Πληθυντικοῦ· σφῶν, σφίσι, σφάς· Ἔτι ἐγκλίνεται καὶ ἡ Ἀόριστος, Τις κατὰ πᾶσαν πτῶσιν·

Ἐκ τῶν Ῥημάτων τὸ εἰμὶ, καὶ φημὶ κατὰ πάντα ἀριθμὸν καὶ πρόσωπον, πλὴν τοῦ εἶ, καὶ φῄς·

Ἐκ τῶν Ἐπιῤῥημάτων τὸ πως· ποτε· ποθεν· ἀόριστα ὄντα·

Ἐκ τῶν Συνδέσμων ὁ τε· καὶ οἱ παραπληρωματικοὶ, πλὴν τοῦ Μήν·

Καὶ

Καὶ εἰμὲν τὸ ἡγούμενον ὑπάρχει ὀξύτονον, ἢ περισπώμενον, τότε τὸ ἑπόμενον, κἂν τε μονοσύλλαβον τύχῃ, κἂν τε δισύλλαβον, ἀποβάλλει διόλου τὸν ἴδιον τόνον· ὁρῶ σε· ὁρῶ τινα· πατήρ σου, πατήρ τινος· καλός τις, ποῦ ἐστι, πατήρ ἐστι, ἢ φησιν, ὁ πατήρ φησι· καὶ ἡ μὲν περισπωμένη σώζεται· ἡ δὲ διὰ τὴν συνέπειαν Βαρεῖα μεταβάλλεται εἰς Ὀξεῖαν·

Εἰδὲ τὸ ἡγούμενον ὑπάρχει προπαροξύτονον ἢ περισπώμενον, τότε προσίθεται ὁ Τόνος τοῦ ἑπομένου εἰς τὴν λήγουσαν τοῦ ἡγουμένου· ἄνθρωπός τις· ἤκουσέ μου· ἤκουσέ σου· δέδωκέ οἱ· ἐφίλησά ἑ· ἄνθρωπός ἐστι, ἄνθρωπόν τινα· τὸ σῶμά σου· σῶμά ἐστι· τὸ οἴκημά σου· τῆς φύσεώς σου· πνεῦμά τινος· φυλάτε· τοῦτό γε· κτ· Ἐξαιροῦνται δὲ τὰ ἑπόμενα εἰς λέξιν ἔχουσαν τὴν λήγουσαν θέσει ἢ φύσει μακράν· ἅπερ εἰμὲν μονοσύλλαβά εἰσιν, ἐγκλίνονται ἀποβάλλοντα διόλου τὸν τόνον· αὖλαξ τις, εἰδὲ δισύλλαβα, φυλάττουσιν αὐτόν· αὖλαξ ἐστί·

Ἐὰν δὲ τὸ ἡγούμενον, παροξύτονον ᾖ, τότε τὸ ἑπόμενον, εἰμὲν μονοσύλλαβόν ἐστι, ἀποβάλλει τὸν οἰκεῖον τόνον· ἀνθρώποις μου, δόξα σοι· εἰδὲ δισύλλαβον, φυλάττει τὸν τόνον· ἀνθρώπου τινὸς, λέξις ἐστί·

Σημείωσαι δὲ ὅτι τὰ μόρια ταῦτα, ὅσα εἴπομεν ὅτι ἐγκλίνονται, αὐτὰ ταῦτα πάλιν οὐκ ἐγκλίνονται κατὰ τοὺς ἑξῆς τρόπους·

1 Ὅταν ὦσιν ἀρκτικὰ λόγου· εἰσὶν ἄνθρωποι· φησὶν ὁ σοφός· σοῦ ἀκούω· οἱ δέδωκα·

2 Ὅταν ἀφαιρῆται τὸ τελευταῖον φωνῆεν τοῦ δεχομένου τὸν τόνον· ἔτ' ἐστί·

3 Ὅταν παρεμπέσῃ μεταξὺ μονοσύλλαβόν τι· ἄνθρωπος δ' ἐστί·

4 Ὅταν ὁρικῶς ὀνομάζηται τὸ ἐγκλινόμενον μόριον, οὕτω· τό μοί, Ἀντωνυμία ἐστὶ, τὸ φημὶ ῥῆμά ἐστι·

5 Ὅταν αἱ Ἀντωνυμίαι διαστέλλουσι πρόσωπα· ἀκούει Τρύφων σοῦ· (μόνου δηλ·) καὶ οὐ θέωνος· καὶ ἐν αὐτοπαθείᾳ· ταῦτα γὰρ οἱ συνέγνωκα κακά·

6 Ὅταν παρεμπίπτωσιν ὑποδιαστολαί· τὸ γὰρ πῦρ, φησὶ, περισπᾶται·

7 Ὅ-

? Ὅταν αἱ πλάγιαι τῆς πρωτοτύπου ἐν τῷ τέλει τοῦ λόγου πίπτωσι· διὰ σὲ, δί ἐμὲ, ἐπ' ἐμοὶ, κατὰ σοῦ, πλὴν τῆς πρός με·

Τὸ δὲ ἐστὶν ἀναβιβάζει τὸν τόνον εἰς τὴν ἰδίαν αὐτοῦ Παραλήγουσαν, ἢ ὅταν τίθηται ἐν ἀρχῇ λόγου. ἔστιν ἡμῖν, ὦ Ἄνδρες Ἀθηναῖοι, ἔστιν ἡμῖν χρήματα· ἢ ὅταν ἀκολουθῇ εἰς τὰ ἑξῆς μόρια. καὶ ἔστιν οὐκ ἔστιν. ἀλλ' ἔστιν. ναὶ ἔστιν. ὡς ἔστιν. εἰ ἔστιν. καὶ τοῦτ' ἔστιν· ἆρ' ἔστιν.

Συνεγκλιτικὰ λέγονται τὰ εἰρημένα, ὅταν ἔπωνται ἀλλήλοις. Καὶ εἰ μὲν δισύλλαβά εἰσι, τότε δέχονται τὰ ἡγούμενα τὸν τόνον τῶν ἑπομένων· οὐδέποτέ φασι· τινές τον φείσονται. εἰδὲ μονοσύλλαβα, τὸ πρῶτον δέχεται τὸν τόνον τοῦ δευτέρου, καὶ τὸ τρίτον τὸν τόνον τοῦ τετάρτου. εἴμοι τίς γε λέξει·

Ἔτι εἰσί τινα τῶν μονοσυλλάβων, τὰ ὁποῖα καθ' ἑαυτὰ μὲν οὐκ ἔχουσι τόνον, λαμβάνουσι δὲ ὀξεῖαν, ὅταν ἀκολουθῇ τι τῶν ἐγκλινομένων· ὡς τὰ, ὅ γε, ἥ γε, οἵ δε, εἵ τε, οὔ πω, ὥς τε, ὡς περ, ὡς που, οὕ τω καὶ τὸ, εἴ τις, ἔν τινι, εἴς τινα, ἔκ τινος, οὔ τις, ὥς τις·

Τὸ δὲ οὖ, καὶ ἐν τῷ τέλει τοῦ λόγου ὄν, δέχεται ὀξεῖαν. ἐγὼ δὲ οὔ·

Περὶ Στίξεως.

Στίξις ἐστὶν ἡ προφορικὴ φάσις τοῦ λόγου, ὅταν προφέρῃς αὐτὸν, ἢ ὅταν ἀναγινώσκῃς τὰ γεγραμμένα.

Σημεῖα δὲ τῆς στίξεως ἐν τοῖς γεγραμμένοις, εἰσὶ ταῦτα.

Ἡ Τελεία στιγμὴ (.) τιθεμένη ἔμπροσθεν τῆς λέξεως ἐν τῷ μέσῳ τοῦ κενοῦ διαστήματος, ὅταν λαμβάνῃ τέλος τὸ νόημα τῆς περιόδου. ταῦτα εἰπὼν ἀπῆλθε.

Ἡ Μέση (,) ἡ ὁποία καὶ ὑποστιγμὴ καὶ ὑποδιαστολὴ λέγεται, τίθεται ἐν τῷ αὐτῷ τόπῳ, ὅταν τὸ νόημα ὑφάρχῃ ἀτελές. οὕτω, μάλιστα ἂν εὐθοκιμοίης, εἰ φαίνοιο ταῦτα μὴ πράττων, ἃ τοῖς ἄλλοις ἐπιτιμᾷς·

Ἡ Κρεμαμένη (·) τίθεται ὀλίγον ἀνωτέρω, ὅταν καί τοι τὸ νόημα ἐντε-

λὲς, ὅμως ἐπακολουθεῖ ἔτι καὶ ἄλλη περίοδος ἀποδιδομένη εἰς τὴν προηγουμένην. οὕτω. „ Μηδενὶ συμφορὰν ἀνειδίσῃς· κοινὴ γὰρ ἡ τύχη.

Παρένθεσις δὲ ἡ διὰ μέσου ἐστὶν ἡ παρεμπίπτουσα περίοδος μεταξὺ τῆς διηγήσεως· ἡ ὁποία καὶ ἂν ἐλλείπῃ, οὐ παραβλάπτεται ἡ προτέρα ἔννοια. καὶ σημεῖα μὲν ταύτης εἰσὶ, δύο καμπύλαι γραμμαί ( ) ἢ καὶ δύο ὑποστιγμαί, , πρὶν καὶ μετὰ, προφέρεται δὲ μὲ φωνὴν ταπεινοτέραν ἀπὸ τὴν πρώτην· ὁρᾷ τὸν λίθον (ἦν γὰρ μέγας σφόδρα) ὅτι ἀποκεκύλισαι τοῦ τάφου·

Παρὰ δὲ τοῖς νεωτέροις συνηθίζεται καὶ τὸ Θαυμαστικὸν σημεῖον! ἐμφαντικὸν θαυμασμοῦ καὶ ἐκπλήξεως. ὢ, πόσων ἀγαθῶν ἐστέρημαι! φεῦ τῶν κακῶν!

Περὶ Ἐφελκυσμοῦ.

Ἐφελκυστικὰ λέγονται τὸ ν· καὶ τὸ σ· ἐφέλκουσι δὲ τὸ μὲν ν· αἱ Δοτικαὶ Πληθυντικαὶ αἱ λήγουσαι εἰς σι· καὶ τὰ Ῥήματα τὰ λήγοντα εἰς ε· καὶ εἰς σι· ὅταν ἕπεται φωνῆεν· ἀποβάλλουσι δὲ αὐτὸ, ὅταν ἕπεται σύμφωνον. οἷον, πᾶσιν ἔδωκεν ἀργύρια. πᾶσι δέδωκε χρήματα· τοῖς διδάσκουσιν οὐ πιστεύουσιν οἱ Χριστιανοί· τοῖς διδάσκουσι πιστεύουσι πάντες. (ἔτι καὶ τὸ πέρυσιν) Τὸ δὲ σ· ἑλκουσιν αἱ λέξεις, ἄχρι, μέχρι, οὕτω; μέχρις οὗ, ἄχρις ἑσπέρας, οὕτως εἶπε, καὶ μέχρι τούτου, ἄχρι τῆς ἡμέρας, οὕτω λέγει.

Ἐπὶ δὲ τοῦ ἀρνητικοῦ μορίου, οὐ, ἐφέλκεται κ· ὅταν ἀκολουθῇ φωνῆεν ψιλούμενον, οὐκ ὀνομάζω. οὐκ εἶπε. Τρέπεται δὲ πάλιν αὐτὸ εἰς χ· ὅταν ἀκολουθῇ φωνῆεν δασυνόμενον. οὐχ ὁρῶ·

Περὶ Δευτέρου Παρακειμένου, καὶ Δευτέρου Ἀορίστου.

Ὁ μὲν δεύτερος Παρακείμενος σχηματίζεται κατὰ τὸν πρῶτον, ὁ δὲ β· Ἀόριστος, κατὰ τὸν Παρατατικὸν τοῦ πρώτου τύπου τῶν βαρυτόνων

ὧν ῥημάτων. φυλάττουσι δὲ ἔν τε τῇ Ληγούσῃ καὶ Παραληγούσῃ τοὺς ἑξῆς Κανόνας.

Ὅταν ὁ Ἐνεστὼς ἔχῃ ἓν ἁπλοῦν σύμφωνον εἰς τὴν λήγουσαν, φυλάττει αὐτὸ καὶ ὁ δεύτερος Παρακείμενος, καὶ ὁ δεύτερος Ἀόριστος· λείπω, λείψω, λέλειφα. λέλειπα, ἔλιπον· βρίθω, βρίσω, βέβρικα, βέβριθα. πλὴν τοῦ σμύχω, σμύξω, ἔσμυγον· καὶ ψύχω, ψύξω, ἔψυχα, ἔψυγα, ἔψυγον, ἐψύγην.

Ὅταν ὁ Ἐνεστὼς λήγῃ εἰς ζ· ἢ εἰς δύο ττ· ὁ δὲ Μέλλων ἔχῃ ξ· τότε ὁ β΄· Παρακείμενος, καὶ β΄· Ἀόρ· ἔχουσι τὸ γ· κράζω, κράξω, κέκραχα, κέκραγα, ἔκραγον· σφάττω, σφάξω, ἔσφαχα, ἔσφαγα· (ἐξ οὗ σφαγὴ) ἔσφαγον, ἐσφάγην· πλήσσω, πλήξω, πέπληχα, πέπληγα· (ἐξ οὗ πληγὴ) ἔπληγον, ἐπλήγην, καὶ ἐπλάγην· πλὴν τοῦ πέφρικα· Ὅταν ὁ Μέλλων τοῦ εἰς ζω Ἐνεστῶτος λήγῃ εἰς σω, τότε ἔχουσι δ· φράζω, φράσω, πέφρακα (ἄχρ·) πέφραδα, ἔφραδον.

Ὅταν ὁ Ἐνεστὼς προφέρεται καθαρῶς· τότε καὶ αὐτοὶ ὁμοίως· ἀκούω, ἀκούσω, ἤκουκα, ἤκσα κοινῶς (καὶ ἀκήκοα Ἀττικῶς·) ἤκουον.

Ὅταν δὲ ἔχῃ ὁ Ἐνεστὼς δύο σύμφωνα εἰς τὴν λήγουσαν, τότε αὐτοὶ ἢ φυλάττουσι σπανίως καὶ τὰ δύο· ὡς τὸ ῥέγκω (τὸ ῥέγχω) ῥέγξω, ἔρρογκα. ἢ φυλάττουσι τὸ πρῶτον σύμφωνον· τύπτω, τέτυφα, τέτυπα (ἐξ οὗ τύπτος) ἔτυπον· τέμνω, τεμῶ, τέτμηκα, τέτομα. (ἐξ οὗ τόμος, καὶ τομεὺς·) ἔταμον· ἢ τρέπουσι τὸ ἡγούμενον ψιλὸν π· εἰς τὸ μέσον β. καλύπτω, καλύψω, κεκάλυφα, κεκάλυβα. (ἐξ οὗ καλύβη) κρύπτω, κρύψω, κέκρυφα, κέκρυβα· (ἐξ οὗ καὶ κρυβὴ) ἢ τρέπουσιν αὐτὸ τὸ ψιλὸν π· εἰς τὸ ἀντίστοιχον δασὺ φ· (καὶ τότε εἰσὶν οἱ αὐτοὶ Παρακείμενοι, καὶ πρῶτοι, καὶ δεύτεροι,) σκάπτω, σκάψω, ἔσκαφα (ἐξ οὗ σκαφὴ) ἐσκάφην. ῥίπτω, ῥίψω, ἔῤῥιφα, ἐῤῥίφην· βάπτω, βάψω, βέβαφα, (ἐξ οὗ βαφὴ) ἐβάφην.

Περὶ τῆς Παραληγούσης, τοῦ Β΄ Παρακειμένου.

Ἐὰν τὸ Ῥῆμα ὑπάρχῃ βαρύτονον, φυλάττει ὁ δεύτερος Παρακεί-

κειμενος τὴν Παραλήγουσαν τοῦ πρώτου, τέτυφα, τέτυπα.

Ἐξαιρεῖται·

Ὅταν ὁ Ἐνεστὼς λήγῃ εἰς λω· τότε τρέπεται ἡ παραλήγουσα εἰς η· Ἀττ· θάλλω. τέθηλα, μέλλω, μέμηλα.

Ὅταν ὁ Ἐνεστὼς παραλήγῃ τῇ αι· τότε ὁ δεύτερος Παρακείμενος τρέπει τὸ α. εἰς η. καὶ τὸ ι. ὑπογράφεται, χαίνω, κέχηνα, φαίνω, πέφηνα· Ἐὰν δὲ τὸ Ῥῆμα ὑπάρχῃ περισπώμενον, μὴ καθαρὸν ἐν τῇ ληγούσῃ (τὰ γὰρ περισπώμενα καθαρὰ οὐκ ἔχουσι δευτέρους Παρακειμένους) τότε καὶ τὴν Παραλήγουσαν τοῦ Ἐνεστῶτος φυλάττει, καὶ τὸ ληκτικὸν σύμφωνον αὐτοῦ· δουπῶ, δουπήσω, δεδούπηκα, δέδουπα (ἐξ οὗ δοῦπος) ἔδουπον. βολῶ (τὸ βάλλω) βολήσω, βεβολήκα, βέβολα (ἐξ οὗ βολὴ, καὶ διάβολος, καὶ καταβολεὺς) πλὴν τοῦ ὀλῶ, ὀλέσω, ὤλεκα, ὤλα. μὴ φυλάττοντος τὴν Παραλήγουσαν διὰ τὴν χρονικὴν αὔξησιν· (α)

Περὶ τῆς Παραληγούσης τοῦ δευτέρου Ἀορίστου.

Ὅταν ὁ Ἐνεστὼς παραλήγῃ τῇ αυ· ἀποβάλλει ὁ Ἀόριστος δεύτερος τὸ υ. παύω, ἔπαον.

Ὅταν παραλήγῃ τῇ ει· ἀποβάλλει ὁ Ἀόριστος δεύτερος τὸ ε. λείπω, ἔλιπον. ἐξαιροῦνται οἱ τρισύλλαβοι Ἀόριστοι δεύτεροι τῶν Ῥημάτων τῶν ληγόντων εἰς ἀμετάβολον ἀποβάλλοντες τὸ ι. καὶ φυλάττοντες· ὀφείλω· ὤφελον.

Ὅταν παραλήγῃ τῇ ευ. ἀποβάλλει τὸ ε· φεύγω, ἔφυγον.

Ὅταν παραλήγῃ τῇ ου. ἀποβάλλει τὸ υ. ἀκούω, ἤκουον.

Ὅταν παραλήγῃ τῷ η· τρέπει αὐτὸ εἰς α. λήβω, ἔλαβον. πήθω, ἔπαθον.

Ὅταν δὲ εὑρεθῇ ἐν δισυλλάβῳ Ἐνεστῶτι ε· ἢ ει· προηγουμένου, ἢ ἑπομένου ἀμεταβόλου, τότε τὸ ε. τρέπεται εἰς α· ὡς ἐπὶ τὸ πλεῖστον· τέμνω, ἔταμον. κείρω, ἔκαρον. τρέπω, ἔτραπον. (πλὴν τοῦ γείνω, ἔγενον, ἐξ οὗ ἐγενόμην.)

Ἔχου-

(α) Τῶν Περισπωμένων πάνυ ὀλίγον εὑρίσκονται β΄. Παρακείμενοι καὶ Ἀόριστοι, κτυπῶ, ἔκτυπα, ἔκτυπον. δουπῶ, δέδουπα, ἔδουπον. ἀνωγῶ, ἄνωγα, ἄνωγον χραισμῶ, ἔχραι-

Ἔχουσι ἔνια τῶν βαρυτόνων Ῥημάτων τοῦ δευτέρου τύπου, καὶ Μέσους Ἀορίστους δευτέρους, καὶ Μεσους Μέλλοντας δευτέρους, οἵτινες φυλάττουσιν ἐν τῇ Παραληγούσῃ, τὸ σύμφωνον τῆς ληγούσης τοῦ Ἀορίστου δευτέρου· ἐξ οὗ καὶ παράγονται.

Περὶ Ἀττικῶν Παρακειμένων.

Οἱ Ἀττικοὶ εἰς τοὺς πρώτους καὶ δευτέρους Παρακειμένους ἐνίων ῥημάτων, ἀρχομένων ἀπὸ α. ε. ο. προσιθέασι τὰ ἀρκτικὰ δύο γράμματα τοῦ Ἐνεστῶτος, καὶ εἰμὲν ἐστὶ τρισύλλαβος ὁ Παρακείμενος, ποιοῦσι τὴν Παραλήγουσαν βραχεῖαν. ἀκούω, ἤκουκα, ἤκουα· καὶ Ἀττικῶς ἀκήκοα· ἀλείφω, ἤλειφα, ἀλήλιφα. ἐλεύθω, ἤλευθα· ἐλήλυθα. ὀρύττω, ὤρυχα, ὀρώρυχα· Εἰδὲ ἐστὶ δισύλλαβος, οὐ ποιοῦσι βραχεῖαν. ὀλῶ, ὦλα, ὄλωλα·

Εἰς ἐνίους παρωχημένους προσιθέασιν ἓν ἐφιλὸν, ὁρῶ, ἑώρων, ἑώρακα· ὠσμαι, ἔωσμαι. ὤνηκα, ἐώνηκα· ἑάλωκα. οὔρουν, ἐούρουν.

Ἀπὸ Παρακειμένων τῶν ἀπὸ λ. ἢ μ· ἀρχομένων Ῥημάτων, ἐκβάλλουσι τὸ πρῶτον σύμφωνον, καὶ προσιθέασι ι· ποιοῦντες εἰς δίφθογγον τὴν ἀρχὴν αὐτοῦ. λήβω, λήψω, λέληφα, εἴληφα. μείρομαι, μέμαρμαι, εἵμαρμαι. Ἀπὸ ὑπερσυντελικῶν πάντων τῶν παρωχημένων ἀφαιροῦσι τὴν χρονικὴν καὶ συλλαβικὴν αὔξησιν·

Ἰωνικῶς ἀποβάλλεται τὸ κ. ἀπὸ τῶν εἰς κα. Παρακειμένων, γινομένης καὶ τῆς Παραληγούσης βραχείας, ἂν ὑπάρχῃ μακρά· ἕστηκα, ἕστακα. τέθνηκα, τέθναα. δεδοικα, δέδια.

Ὅταν Μέλλων δισύλλαβος ἔχει εἰς τὴν λήγουσαν ψ. ἢ ξ. καὶ εἰς τὴν Παραλήγουσαν ε. τότε οἱ Ἀττικοὶ τρέπουσι τὸ ε. εἰς ο. πέμψω. πέπεμφα. πέπομφα. βρέξω, βέβρεχα, βέβροχα· λέξω, λέλεχα, λέλεγα, καὶ Μέσ. λέλογα.

Ὅταν δὲ ἔχῃ εἰς τὴν λήγουσαν σ. ἢ ξ. καὶ εἰς τὴν παραλήγουσαν ει. τότε ἐν τῷ δευτέρῳ Παρακειμένῳ τρέπουσι τὸ ε. εἰς ο. καὶ τὸ ι. προσγράφουσιν. εἴδω, εἴσω. εἴκα, οἶδα. πείθω, πείσω, πέπεικα, πέποιθα. εἴκω, εἴξω. εἶχα, οἶκα. καὶ ἔοικα. δείδω, δείσω, δέδεικα, δέδοιδα· καὶ τροπῇ τοῦ δ. εἰς κ. (διὰ τὴν ἐπαλληλίαν τῶν τριῶν δ) δέδοικα·

ἔχραισμον. ὀλισθῶ, ὤλισθον, ἁμαρτῶ, ἥμαρτον βλαστῶ, ἔβλαστον. εὑρῶ, εὗρον, καὶ σπῶ, ἔσπον.

Τοῦ Πρώτου Τύπου. οἱ Καλούμενοι δεύτεροι Παρακείμενοι· καὶ δεύτεροι Ἀόριστοι·

Ἔγκλισις Ὁριστική·

Παρακ β΄.	Τέτυπα, τέτυπας, τέτυπε.	(δ) τετύπατον, τετύπατον
	τετύπαμεν, τετύπατε, τετύπασι.	
Ἀόριστ. β΄.	Ἔτυπον, ἔτυπες, ἔτυπε.	(δ) ἐτύπετον, ἐτυπέτην.
Μέλλων β΄.	Τυπῶ, τυπεῖς, τυπεῖ·	(δ) τυπεῖτον.

Προστακτική.

Ἀόριστ. β΄.	Τύπε, τυπέτω.	(δ. τύπετον, τυπέτον)
	Τύπετε, τυπέτωσαν·	(α)
Παρακ. β΄.	Τέτυπε, τετυπέτω·	(δ. τετυπέτον.)
	Τετύπετε, τετυπέτωσαν.	

Εὐκτική·

Παρακ. β΄.	Τετύποιμι, τετύποις, τετύποι·	(δ. τετύποιτον, τετυποίτην)
	τετύποιμεν, τετύποιτε, τετύποιεν.	
Ἀόριστ. β΄.	τύποιμι, τύποις, τύποι.	(δ. τύποιτον, τυποίτην·)
	τύποιμεν, τύποιτε, τύποιεν.	
Μέλλων β΄.	Τυποῖμι, τυποῖς, τυποῖ.	(δ. τυποῖτον, τυποίτην.)
	τυποῖμεν, τυποῖτε, τυποῖεν.	

Ὑποτακτική·

Ἀόριστ. β΄.	Ἐὰν τύπω, τύπῃς, τύπῃ.	(δ. ἐὰν τύπητον, τύπητον.)
	ἐὰν τύπωμεν, τύπωτε, τύπωσι.	

Ἀπα-

(α) Πλὴν τῶν ὀξυτονουμένων. ἐλθὲ, εὑρὲ, λαβὲ, εἰπὲ, ἰδὲ. ἃ καὶ ἴδε λέγεται.

Ἀπαρέμφατος.

Παρακ. β΄. Τετυπέναι.
Ἀόρις. β΄. Τυπεῖν.
Μέλλων β΄. Τυπεῖν.

Μετοχή.

Παρακ. β΄. Ὁ Τετυπώς, τοῦ τετυπότος· ἡ τετυπεῖα, τῆς τετυπείας· τὸ τετυπὸς, τοῦ τετυπότος.
Ἀόρις. β΄. Ὁ Τύπων, τοῦ τύποντος, ἡ τύπουσα, τὸ τύπον.
Μελλ β΄. Ὁ Τυπῶν, τοῦ τυποῦντος, ἡ τυποῦσα, τὸ τυποῦν.

Τοῦ Δευτέρου Τύπου οἱ Δεύτεροι καὶ Μέσοι Χρόνοι.

Ἔγκλισις Ὁριστική.

Ἀόρις. β΄. Ἐτύπην, (ὡς τὸ ἐτύφθην) Μελ. β΄. Τυπήσομαι, (ὡς τυφθήσομαι.
Μ. Ἀόρ. β΄. Ἐτυπόμην, ἐτύπου, ἐτύπετο. (ἐτυπόμεθον, ἐτύπεσθον ἐτυπέσθην) ἐτυπόμεθα, ἐτύπεσθε, ἐτύποντο.
Μ. Μέλ. β΄. Τυποῦμαι, τυπῇ, τυπεῖται· (τυπούμεθον, τυπεῖσθον, τυπεῖσθον,)
Τυπούμεθα, τυπεῖσθε, τυποῦνται.

Προστακτική.

Ἀόρις. β΄. Τύπηθι, τυπήτω (τύπητον, τυπήτων)
Τύπητε, τυπήτωσαν.
Μ. Ἀόρ. β΄. Τυποῦ, τυπέσθω, (τύπεσθον, τυπέσθων)
Τύπεσθε, τυπέσθωσαν. (α)

Εὐ-

(α) Πλὴν τοῦ τράπου, ἐπιλάθου, καὶ ἀφίκου, ἀφικέσθω.

Εὐκτική.

Ἀόρις. β΄. Τυπείην, τυπείης, τυπείη. (ὡς τὸ τυφθείην.)
Μέλ. β΄. Τυπησοίμην. . . (ὡς τὸ τυφθησοίμην.)
Μ. Ἀόρ. β. Τυποίμην, τύποιο, τύποιτο. (ὡς τὸ τυπτοίμην.)
Μ. Μέλ. β΄. Τυποίμην, τυποῖο, τυποῖτο. (τυποίμεθον, τυποῖσθον, Τυποίσθην·) τυποίμεθα, τυποίσθε, τυποῖντο.

Ὑποτακτική.

Ἀόρις. β΄. Ἐὰν τυπῶ, τυπῇς, τυπῇ· (ἐὰν τυπῆτον, τυπῆτον·) ἐὰν τυπῶμεν, τυπῆτε, τυπῶσι·
Μ. Ἀόρ. β΄. Ἐὰν τύπωμαι. (ὡς τὸ τύψωμαι.)

Ἀπαρέμφατος.

Ἀόρις. β΄. Τυπῆναι, Μέλ β΄. Τυπήσεσθαι.
Μ. Ἀόρ. β΄. Τυπέσθαι. Μ. Μέλ. β. Τυπεῖσθαι.

Ἀόρις. β΄. Ὁ Τυπεὶς, ἡ τυπεῖσα, τὸ τυπέν.
Μέλ. β΄. Ὁ Τυπησόμενος, ἡ τυπησομένη, τὸ τυπησόμενον.
Μ. Ἀόρ. β΄. Ὁ Τυπόμενος, ἡ τυπομένη, τὸ τυπόμενον.
Μ. Μέλ. β΄. Ὁ Τυπούμενος, ἡ τυπουμένη, τὸ τυπούμενον.

Ἀνώμαλα Ῥήματα.

Ἑρμηνεία τῶν διὰ συντομίαν χαραττομένων γραμμάτων.

Πρῶτον τίθεται ὁ Ἐνεστὼς τοῦ ῥήματος. ὁ δὲ Παρατατικὸς οὐ γράφεται. ὅτι εὐκολοχρημάτιστός ἐστιν ἀπὸ τοῦ Ἐνεστῶτος. τὸ δὲ Μ. δηλοῖ Μέλλων τοῦ πρώτου Τύπου. τὸ Λ. Ἀόριστος. τοῦ ά. Τύπου. τὸ Β. Α. δεύτερος Ἀόριστος. τὸ Π. Παρακείμενος αὐτοῦ. τὸ Β. Π. δεύτερος Παρακείμενος αὐτοῦ.

Τοῦ

Τοῦ Δευτέρου Τύπου·

Τὸ μ· Μ· μέσος Μέλλων· τὸ μ· Α· μέσος Ἀόριστος αὐτοῦ· τὸ Π. Παρακείμενος· τὸ μ· Μ· β· μέσος Μέλλων δεύτερος· τὸ μ· Α· β· μέσος Ἀόριστος δεύτερος· τὸ Α· Ἀόριστος αὐτοῦ· τὸ β· Α· δεύτερος Ἀόριστος αὐτοῦ· τὸ Μ· Μέλλων αὐτοῦ· τὸ β· Μ· δεύτερος Μέλλων αὐτοῦ· τὸ μετ' ὀλ· μετ' ὀλίγον Μέλλων· τὸ Συγκ· Συγκοπῇ· τὸ Κρ· Κράσει· τὸ Ἀττ· Ἀττικῶς·

Κανὼν Γενικὸς, ὅτι τὰ εἰς Λνω, καὶ Σκω· μέχρι Παρατατικοῦ Κλίνονται·

Ἀρχὴ τοῦ Α·

Ἀγάλλομαι· καὶ ἀγαλλιάομαι· ῶμαι· μ· Μ· ἀγαλλιάσομαι· μ· Α· ἠγαλλιασάμην·

Ἄγαμαι· μ· Μ· ἀγάσομαι· μ· Α· ἠγασάμην· Π· ἄγασμαι· Α· ἠγάσθην· (ἀπὸ ἀγάζομαι·)

Ἀγείρω· Μ· ἀγερῶ· Α· ἤγειρα· Π· ἤγερκα· καὶ ἐγήγερκα Ἀττ·

Ἀγείρομαι· μ· Μ· ἀγεροῦμαι· μ· Α· ἠγειράμην· Π· ἄγερμαι· καὶ ἀγήγερμαι Ἀττ·

Ἀγνύω ἄγνυμι· Μ· ἄξω· (ἀπὸ ἄγω τὸ κλῶ·) Α· ἔξα· ἔαξα· καὶ κατέαξα Ἀττ· β· Π· ἔαγα, καὶ κατέαγα·

Ἀγγέλομαι· μ· Μ· ἀγγελοῦμαι· μ· Α· ἠγγειλάμην· Π· ἤγγελμαι· Α· ἠγγέλθην· καὶ β· ἠγγέλην· Μ· ἀγγελθήσομαι· καὶ ἀγγελήσομαι

Ἄδω· Μ· ᾄσω· Α· ἦσα·

Ἄγω· Μ· ὄξω· β· Λ· ἤγαγον· Π· ἦχα· καὶ ἄγηχα Ἀττ· καὶ πλεονασμῷ τοῦ ε· ἀγήοχα·

Ἄγομαι· μ· Μ· ἄξομαι· μ· Α· β· ἠγαγόμην· Π· ἦγμαι· Α· ἤχθην· καὶ ἀχθήσομαι·

Αἰδέομαι· οῦμαι· μ· Μ· αἰδέσομαι· Π· ἤδεσμαι· Α· ἠδέσθην· Μ· αἰδεσθήσομαι·

Αἱρέω·

Αἱρέω· αἱρῶ· Μ· αἱρήσω· Π· ἤρηκα· β· Α· εἷλον· ἀπὸ ἕλω ἀχρήστου·

Αἱρέομαι· οῦμαι· μ· Μ· αἱρήσομαι· Π· ἤρημαι· Α· ἡρέθην· Μ· αἱρεθήσομαι· μ· Α· β· εἱλόμην·

Αἰσθάνομαι· μ· Μ· αἰσθήσομαι· ἀπὸ αἰσθέομαι· Π· ἴσθημαι· μ· Α· β· ἡσθόμην· ἀπὸ αἴσθομαι·

Αἰσχύνομαι· μ· Μ· αἰσχυνοῦμαι· Π· ἴσχημαι· Α· ἠσχύνθην· Μ· αἰσχυνθήσομαι·

Αἰωρέω· ῶ· Μ· αἰωρήσω· Α· αἰώρησα· Π· ἠώρηκα· καὶ ἀπαιωρῶ·

Αἴρω· Μ· ἀρῶ· Α· ἦρα· Π· ἦρκα·

Αἴρομαι· μ· Μ· ἀροῦμαι· μ· Α· ἠράμην· Π· ἦρμαι· Α· ἤρθην· Μ· ἀρθήσομαι·

Ἀλέξω· Μ· ἀλεξήσω, καὶ ἀλεξῶ, ἐξ οὗ ἀπαρ· ἀλεξεῖν·

Ἀλέξομαι· μ· Μ· ἀλεξήσομαι· μ· Α· ἠλεξάμην, ἀντὶ ἠλεξησάμην Ἀττ·

Ἀλέω, καὶ ἀλήθω· Μ· ἀλέσω, καὶ ἀλήσω· Α· ἤλεσα· Π· ἤλεκα· καὶ ἀλήλεκα Ἀττ·

Ἀλίσκω· Μ· ἁλώσω, (ἀπὸ ἁλόω, ἁλῶ·) Π· ἑάλωκα, καὶ ἑάλωκα Ἀττ· β· Α· ἑάλων, καὶ ἑάλων· (ἀπὸ ἅλωμαι·) Προσ· ἁλῶθι· Εὐκτ· ἁλῴην· Ἀπαρ· ἁλῶναι· Μετ· ἁλούς·

Ἁλίσκομαι· μ· Μ· ἁλώσομαι· Π· ἑάλωμαι, καὶ ἑάλωμαι· Α· ἁλώθην·

Ἁμαρτάνω· Μ· ἁμαρτήσω· Π· ἡμάρτηκα· β· Α· ἥμαρτον· (ἀπὸ ἁμαρτῶ·)

Ἀμβλίσκω· Μ· ἀμβλώσω· Π· ἤμβλωκα· (ἀπὸ ἀμβλόω, βλῶ·)

Ἀμπέχω· Μ· ἀμφέξω· Παρατ· ἤμπισχον, καὶ ἡμπισχόμην· (ἀπὸ ἴσχω·)

Ἀμύνω, καὶ ἀμύνομαι· μ· Μ· ἀμυνοῦμαι· μ· Α· ἠμυνάμην·

Ἀμφιεννύω, καὶ ἀμφιέννυμι· Μ· ἀμφιέσω· Α· ἠμφίεσα· (ἀπὸ ἀμφιέω·)

Ἀμφιέννυμαι· μ· Μ· ἀμφιέσομαι· μ· Α· ἠμφιεσάμην· Π· ἠμφίεσμαι

Ἀναθέομαι· δοῦμαι· μ· Μ· ἀναθήσομαι· μ· Α· ἀνεθησάμην· Π· ἀναθέθημαι· Α· ἀνεθήθην·

Ἀναμι-

Ἀναμιμνήσκω. Μ. ἀναμνήσω. Α. ἀνέμνησα. (ἀπὸ μνάω)

Ἀναμιμνήσκομαι. μ. Μ. ἀναμνήσομαι. Π. ἀναμέμνημαι. Α. ἐμνήσθην.

Ἀναπεταννύω, καὶ ννυμι. Μ. ἀναπετάσω. Α. ἀνεπέτασα. (ἀπὸ ἀναπεταώ.)

Ἀνέχομαι, ἠνειχόμην. μ. Μ. ἀνέξομαι. μ. Α. β. ἠνεσχόμην. (ἀπὸ σχέω, σχῶ.) Π. ἀνέσχημαι, καὶ ἔσχεμαι. (ἀπὸ σχέσω.) Α. ἀνεσχέθην.

Ἀνοίγω. Μ. ἀνοίξω. Α. ἤνοιξα, καὶ ἠνέῳξα. β. Π. ἠνέωγα. β. Α. ἠνέωγον.

Ἀνοίγομαι. μ. Μ. ἀνοίξομαι. μ. Α. ἠνοιξάμην, καὶ ἠνεῳξάμην. Π. ἤνοιγμαι, καὶ ἠνέωγμαι. Α. ἠνοίχθην, ἠνεώχθην, καὶ β. ἠνοίγην. Μ. ἀνοιχθήσομαι, καὶ ἀνοιγήσομαι.

Ἀπεχθάνομαι. ὅρα ἐχθάνομαι.

Ἅπτομαι. μ. Μ. ἅψομαι. Π. ἧμμαι. Α. ἥφθην, συνήφθην. Μ. ἁφθήσομαι.

Ἀράσσομαι. μ. Μ. ἀράξομαι. μ. Α. ἠραξάμην. Π. ἤραγμαι.

Ἄρδω. Μ. ἀρδεύτω. Α. ἤρδευσα. (ἀπὸ ἀρδεύω)

Ἀρέσκω. Μ. ἀρέσω. (ἀπὸ ἀρέω) Α. ἤρεσα. Π. ἤρεσμαι. α. ἠρέσθην Μ. σθήσομαι. Ἀρήγω. Μ. ἀρήξω, καὶ πλέον οὖ.

Ἄρω, τὸ ἁρμόζω. Μ. ἀρῶ. β. Π. ἦρα, καὶ ἄρηρα, ὅθεν ἀραρέναι, ἀραρώς.

Ἀνώγω, καὶ ἀνωγέω, γῶ. Μ. ἀνώξω, καὶ ἀνωγήσω. β. Π. ἤνωγα, καὶ ἀνῶγα.

Ἀπέσκληκα. Παρακ. ἐξ οὗ ἀπεσκληκώς Μετ.

Ἀσχάλλω, ἤσχαλλον, καὶ πλέον οὖ.

Αὐξάνω. Μ. αὐξήσω. Π. ηὔξηκα. (ἀπὸ αὐξέω.)

Αὐξάνομαι, καὶ αὔξομαι. μ. Μ. αὐξήσομαι. Α. ηὐξήνθην. Μ. αὐξηνθήσομαι.

Αὔω, αὐαίνω. (ἀπὸ ἄω, πνέω, καὶ σημαίν. τὸ ξηραίνω) Μ. αὔσω, καὶ αὐανῶ. Α. αὐάνθην. αὐανθήσομαι.

Ἄχθομαι. μ. Μ. ἀχθήσομαι. α. ἠχθέσθην. Μ. ἀχθεσθήσομαι.

Ἀρχὴ

Ἀρχὴ Τοῦ Β.

Βαίνω. μ. Μ. βήσομαι, (ἀπὸ βάω) Π. βέβηκα. β. Α. ἔβην, (ἀπὸ βῆμι) Προστακ. ἀνάβηθι, καὶ ἀνάβα.

Βάλλω. Μ. βαλῶ. β. Α. ἔβαλον. Π. βέβληκα (ἀπὸ βλέω, βλῶ.)

Βάλλομαι. μ. Μ. βαλοῦμαι. μ. Α. β. ἐβαλόμην. Π. βέβλημαι. Α. ἐβλήθην.

Βαρύνω. Μ. βαρυνῶ. Π. βεβάρηκα, (ἀπὸ βαρέω)

Βαρῶ, βαρήσω, καὶ βαροῦμαι. καὶ βεβάρημαι. καὶ Π. βεβάρυμμαι

Βιόω. ῶ. Μ. Βιώσω. Α. ἐβίωσα, καὶ β. Α. ἐβίων. Εὐκτικ. βιώην. Ἀπαρ. βιῶναι. Μετοχ. βιοὺς, (ἀπὸ βίωμι)

Βλαστάνω. Μ. βλαστήσω. Α. ἐβλάστησα, (ἀπὸ βλαστέω) καὶ ἔβλαστον. Παρατ. ἀπὸ βλάστω.

Βούλομαι, βούλει, βούλεται, ἐβουλόμην, καὶ ἠβουλόμην. μ. Μ. βουλήσομαι, (ἐκ τοῦ βουλέω) καὶ β. Π. βέβουλα. Π. βεβούλημαι. Α. ἐβουλήθην, καὶ ἠβουλήθην.

Βρώσκω, καὶ βιβρώσκω. Μ. βρώσω. Π. βέβρωκα.

Βρίθω. β. Π. βέβριθα.

Βρενθύομαι, ἐβρενθυόμην, καὶ πλέον οὖ.

Ἀρχὴ Τοῦ Γ.

Γαμέω, μῶ. Μ. γαμήσω. Π. γεγάμηκα. Α. ἔγημα, ἀπὸ γήμω. ἢ κατὰ Συγκ. ἀπὸ τοῦ ἐγάμησα.

Γεραίρω, ἐγέραιρον, καὶ πλέον οὖ.

Γήθομαι. Μ. γηθήσομαι. β. Π. γέγηθα.

Γελασείω, ἐφετικὸν, καὶ πλέον οὖ. Μετοχ. ὁ γελασείων, τοῦ γελασείοντος.

Γηράσκω. Μ. γηράσω. Α. ἐγήρασα. Π. γεγήρακα. (ἀπὸ γηράω, γηρῶ)

Γίνομαι, καὶ γίγνομαι. μ. Μ. γενήσομαι. μ. Α. β. ἐγενόμην. (ἀπὸ γείνομαι) β. Π. γέγονα. Π. γεγένημαι.

Γινώσκω· μ· Μ· γνώσομαι· Π· ἔγνωκα· β· Α· ἔγνων· Ἀπαρ· γνῶναι· ἀπὸ γνόω, καὶ γνῶμι·

Γινώσκομαι· Π· ἔγνωσμαι· Α· ἐγνώσθην·

Γρηγορῶ· Μ· γρηγορήσω· Π· ἐγρηγόρκα, καὶ β· ἐγρήγορα·

Γωνῶ, ἄχρ· ὅθεν β· Π· γέγωνα, ἐξ οὗ γεγωνυῖα φωνὴ, καὶ γεγωνότερον·

Γλίχομαι, ἐγλιχόμην, καὶ πλέον οὔ·

Ἀρχὴ Τοῦ Δ.

Δάκνω· Μ· δήξω· β, Α· ἔδακον, ἀπὸ δήκω·

Δάκνομαι· μ· Μ· δήξομαι· Π· δέδηγμαι· Α· ἐδήχθην· μ· Α· β· ἐδακόμην·

Δαρθάνω· β· Α· ἔδαρθον· Π· δεδάρθηκα· (ἀπὸ δάρθω· καὶ δαρθέω·)

Δεδίττομαι· Μ· δείσω· Α· ἔδεισα· Π· δέδοικα· Ἀττ· β· Π· δέδοιδα, καὶ δέδια· Πληθ· δεδίαμεν, καὶ δέδιμεν· Ὑπερ· ἐδεδοίκειν· ἐδεδίειν, ἐδεδίαμεν, καὶ ἐδέδιμεν· Προστ· δέδιθι· Ἀπαρ· δεδιέναι, δεδιώς·

Δεικνύω, καὶ δείκνυμι· Μ· δείξω· ἀπὸ δείκω·

Δέω (τὸ δεσμῶ) Μ· δήσω, καὶ δέσω· μετ' ὀλ· Μ· δεδίσομαι·

Δέομαι· μ· Μ· δήσομαι·, καὶ δέσομαι· Π· δέδεμαι, καὶ δέδεσμαι· Α· ἐδεήθην· Μ· δεηθήσομαι·

Δέομαι, δέῃ, δέεται, καὶ δεῖται, ἐδεόμην. ἐδέετο, καὶ ἐδεῖτο· μ· Μ· δεήσομαι· Π· δεδέημαι· Α· ἐδεήθην· Μ· δεηθήσομαι·

Δέρω· Μ· δερῶ·· καὶ δαρῶ· Α· ἔδειρα· Π· δέδαρκα· β· δέδορα· ἐξ οὗ δορά·

Δέρομαι· Π· δέδαρμαι· Α· ἐδάρθην· καὶ ἐδάρην, δαρθήσομαι· καὶ δαρήσομαι·

Διαιτάω· τῶ· Μ· διαιτήσω, Α· διήτησα· Π· δεδιήτηκα, καὶ δεδιήτημαι·

Διδάσκω· Μ· διδάξω· (ἀπὸ διδάχω·)

Διδάσκομαι· μ· Μ· διδάξομαι, δεδίδαγμαι· κτ·

Διδρά-

Διδράσκω· Μ· δράσω· β· Α· ἔδρην· καὶ ἔδραν, ἔδρας, ἔδρα· ἀπέδρα ἀπὸ δράω· καὶ δρῆμι·

Δοκέω· Μ· δοκήσω· καὶ δόξω· Α· ἐδόκησα· καὶ ἔδοξα· ἀπὸ δόκω· Π· δέδογμαι·

Δρέμω· (ἄχρ·) μ· Μ· δραμοῦμαι· β· Α· ἔδραμον· Π· δεδράμηκα

Δέρκω· δέρκομαι· β· Π· δέδορκα· β· Α· ἔδαρκον, καὶ ἔδρακον·

Δύναμαι, δύνασαι, καὶ δύνῃ, δύναται, ἐδυνάμην· καὶ ἠδυνάμην· ἐδύνασο, καὶ ἐδύνω· μ· Μ· δυνήσομαι· Π· δεδύνημαι· Α· ἐδυνήθην· Μ· δυνηθήσομαι· Προσ· ἄχρ· Εὐκτ· δυναίμην· Ὑποτ· ἐὰν δύνωμαι· δύνῃ· Ἀπαρ· δύνασθαι· Μ· ὁ δυνάμενος·

Δύω, δύνω, καὶ δῦμι· Μ· δύσω· Α· ἔδυσα· β· ἔδυν·

Δύομαι· μ· Μ· δύσομαι, σάμην, δέδυμαι, ἐδύθην, θήσομαι, ἐνεδύθην, ἐνδυθήσομαι·

Ἀρχὴ Τοῦ Ε·

Ἐγείρω· Μ· ἐγερῶ· Π· ἔγερκα, ἐγήγερκα, ἐγήγερμαι·

Ἔδω, (τὸ ἐσθίω) μ· Μ· ἔδομαι, καὶ ἐδοῦμαι· Π· ἦκα, ἔδηκα Ἀττ· καὶ πλέον οὗ· ἐδήδοκα· β· Α· ἔφαγον· Π· ἤδεσμαι· ἐξ οὗ ἔδεσμα·

Ἕζω, καὶ ἕζομαι, καθέζομαι· μ· Μ· ἕσομαι, καὶ καθέσομαι, καὶ καθεδοῦμαι, ἥσμαι, ἥσμην, ἧσο, ἧστο, καθῆστο· Α· ἑσθην· Μ· ἑσθήσομαι, καὶ καθέσθην, καθεσθήσομαι·

Ἐθίζω, εἴθιζον· Μ· ἐθέσω· β· Π· εἴωθα, εἰώθην·

Εἴδω (ἄχρ·) ἀντὶ βλέπω· β· Α· εἶδον· Προσ· ἰδὲ, καὶ ἴδε· Εὐκτ· ἴδοιμι· Ὑπ· ἐὰν ἴδω· Ἀπαρ· ἰδεῖν· Μετοχ· ὁ ἰδὼν, ἐπὶ σημασ τοῦ βλέπω·

Εἰσφρήσω· Α· εἰσέφρησα· β· εἰσέφρην, ἀπὸ φρέω, καὶ φρῆμι·

Εἴκω· Μ· εἴξω· Α· εἶξα, ὑπεῖξα·

Εἵμαρται· Π· (ἀπὸ μείρομαι, μεροῦμαι, μέμαρμαι, καὶ εἵμαρμαι, ὅθεν εἱμαρμένη, Ὑπ· εἵμαρτο·

Εἶπα· καὶ β· Α· εἶπον· (ἀπὸ ἔπω·) Προσ· εἰπὲ· Εὐκτ· εἴποιμι·

ποιμι. Ὑπ. ἐὰν εἴπω, εἰπεῖν, ὁ εἰπών.

Εἴρηκα. καὶ εἴρημαι. Π. (ἀπὸ εἴρω. καὶ ἐρέω,) Μ. β. ἐρῶ.

Ἐλαύνω. Μ. ἐλάσω. Π. ἤλακα, καὶ ἐλήλακα. (ἀπὸ ἐλάω, ἐλῶ.)

Ἕλκω, ἑλκύω. Μ. ἑλκύσω, εἵλκυσα, εἵλκυσμαι, εἱλκύσθην.

Ἐμέω. μῶ. Μ. ἐμέσω, καὶ μήσω. Π. ἤμηκα, καὶ ἐμήμηκα.

Ἔοικα. (ἀπὸ εἴκω, εἴξω.) ἐῴκειν.

Ἑορτάζω, ἑόρταζον. Α. ἑόρτασα, ἀναύξ.

Ἐπίσαμαι, ἠπισάμην. (ἀπὸ ἰσάω, ἰσῶ, ἴσημι, καὶ ἵστημι, ἵσταμαι, καὶ ἐπίσταμαι.) μ. Μ. ἐπιστήσομαι.

Ἔπομαι, εἱπόμην. μ. Μ. ἕψομαι.

Ἔρομαι, (τὸ ἐρωτῶ.) μ. Μ. ἐρήσομαι. μ. Α. β. ἠρόμην, καὶ εἰρόμην. Προστακτ. ἔρου. Ἀπαρ. ἔρεσθαι, καὶ ἐροῦ, καὶ ἐρέσθαι.

Ἐράω, ἐρῶ, καὶ ἐρῶμαι. μ. Μ. ἐράσομαι. Π. ἤρασμαι, α. ἠράσθην.

Ἔρρω, (φθείρω,) Προστ. ἔρρε. ἐρρέτω.

Ἐρρύην. β. Α. (ἀπὸ ῥέω,) Ἀπαρ. ῥυῆναι, ῥυείς.

Ἐρυγγάνω, ἐρεύγομαι. μ. Μ. ἐρεύξομαι. α. ἠρεύχθην. Μ. ἐρευχθήσομαι.

Ἐρυθαίνω. Μ. ἐρυθήσω. (ἀπὸ ἐρυθέω.)

Ἔρχομαι. μ. Μ. ἐλεύσομαι. θ. Π. ἦλυθα, ἐλήλυθα. β. Α. ἦλυθον. καὶ ἦλθον. (ἀπὸ ἐλεύθω)

Ἔσθω, ἐσθίω. Π. ἔσθιον, καὶ πλέον οὖ.

Ἑστήκω. (τὸ βεβαίως ἵσταμαι) ἑστήξω, καὶ ἀφεστήκω. ἐξ οὗ τὰ λοιπὰ ὅσα εἰς τὸ ἵστημι.

Εὔδω. Μ. εὐδήσω. ὅρα καθευδω.

Εὑρίσκω. Μ. εὑρήσω. Π. εὕρηκα. (ἀπὸ εὑρέω.) β. Α. εὗρον. (ἀπὸ εὑρω.)

Εὑρίσκομαι. μ. Μ. εὑρήσομαι, καὶ ῥέσομαι ἄχρ. Π. εὕρημαι. Α. εὑρέθην, θήσομαι.

Εὔχομαι. μ. Μ. εὔξομαι, ηὐξάμην.

Ἔχω, εἶχον. Μ. ἕξω. δασύνεται πρὸς διαφορὰν τοῦ ἕξω ἐπιῤῥήματος. Π. ἔσχηκα. Α. β. ἔσχον, ἀπὸ σχέω, σχῶ, ἔσχεον, κατὰ Συγκ. Προσ. σχές. Εὐκτ. σχοίην. ἐὰν σχῶ, σχεῖν, ὁ σχών.

Ἔχο-

Ἔχομαι. μ. Μ. ἕξομαι, καὶ σχήσομαι. Π. ἔσχημαι. Α. ἐσχέθην, σχεθήσομαι. μ. Α. β. ἐσχόμην.

Ἐχθάνομαι. μ. Μ. ἀπεχθήσομαι, καὶ θήσομαι. Π. ἔχθημαι, καὶ ἔχθεσμαι. Α. ἠχθέσθην. Μ. ἀχθεσθήσομαι.

Ἔψω. Μ. ἑψήσω. Α. ἕψηκα. Π. ἕψημαι, ἀπὸ ἑψέω.

Ἀρχὴ Τοῦ Ζ.

Ζάω, ζῶ. ζῇς, ζῇ (πρὸς διαφ. τοῦ ζεῖς. ἐκ τοῦ ζέω) ἔζων, ἔζης. Μ. ζήσω, καὶ ζήσομαι. Π. ἔζηκα. Προσ. ζῆθι. Εὐκτ. ζώην.

Ζέω, ζέεις, ζεῖς. Μ. ζέσω. Π. ἔζεκα.

Ζεύγω, ζευγνύω, ζεύγνυμι. Μ. ζεύξω. κτ.

Ζωννύω, ζώννυμι. Μ. ζώσω. Α. ἔζωσα. Π. ἔζωσμαι. Α. ἐζώσθην, σθήσομαι, ἀπὸ ζέω.

Ἀρχὴ τοῦ Η.

Ἠβάσκω. Μ. ἠβήσω. Α. ἤβησα. Π. ἤβηκα. ἀπὸ ἠβάω, βῶ.

Ἤδομαι. μ. Μ. ἥσομαι. Π. ἧσμαι. Α. ἥσθην, ἡσθήσομαι.

Ἠδύνομαι. μ. Μ. ἡδυνοῦμαι. Α. ἠδύνθην.

Ἤκω. Μ. ἥξω.

Ἀρχὴ Τοῦ Θ.

Θάλλω. β. Π. τέθηλα.

Θέλω, καὶ ἐθέλω. Μ. θελήσω. Π. τεθέληκα.

Θέω, θέεις, θεῖς. θέει, θεῖ. ἔθεον ὁμοίως.

Θνήσκω. Μ. θνήξω. καὶ θανοῦμαι. Π. τέθνηκα. καὶ τέθναα. Α. β. ἔθανον. (ἀπὸ θήνω.) μετ' ὀλ. Μ. τεθνήξομαι. Ἀπαρ. τεθνάναι. Μετοχ. τεθνεώς.

Θρώσκω. μ. Μ. θροῦμαι. β. Α. ἔθορον. ἀπὸ θόρω.

Θάπτω. Μ. θάψω. θάπτομαι. θ. Α. ἐτάφην.

Θφ-

Θάρω (ἄχρης·) β· Π· τέθηπα· Μετοχ· τεθηπώς·

Ἀρχὴ Τοῦ Ι.

Ἱδρύω, ἵδρυμι· Μ· ἱδρύσω· κτ·

Ἵζω, καὶ καθίζω· Μ· καθίσω· Α· ἐκάθισα·

Ἰζάνω· Μ· ἰζήσω, ἀπὸ ἰζέω·

Ἵκνοῦμαι· μ· Μ· ἵξομαι· Π· ἶγμαι· μ· Μ· ἱκόμην· (ἀπὸ ἵκομαι·)

Ἱλάσκομαι· μ· Μ· ἱλάσομαι· Α· ἱλασάμην· Π· ἱλασμαι· Α· ἱλάσθην σθήσομαι· ἀπὸ ἱλάομαι· Προς· ἱλάσθητι, καὶ ἵλαθι·

Ἵπταμαι· μ· Μ· πτήσομαι, ἀπὸ πετάσομαι, καὶ Συγκ· πτήσομαι· Π· πέπταμαι· β· Α· ἔπτην, ἀπὸ πτῆμι·

Ἴσθι· ἔξτν ἴσημι ἄχρ· Πληθ· ἴσαμεν, καὶ ἴσμεν, ἴστε, ἴσασι· Προς· ἴσθι, ἴστω·

Ἴσαμαι, καὶ ἴστμαι, καὶ ἐπίστμαι, ἐπίστασαι, ἐπίσταται, ἐπιστάμεθα· κτ· Παρατ· ἠπιστάμην·

Ἴσχω (τὸ ἔχω) ἴσχον, καὶ πλέον οὗ·

Ἀρχὴ Τοῦ Κ·

Καθέζομαι· μ· Μ· καθεδοῦμαι· Α· ἐκαθέσθην· Μ· καθεσθήσομαι·

Κάθημαι (ἀπὸ ἧω, ἧμι, ἧμαι, καὶ κᾶσαι, ἧσαι, καὶ κάθημαι, κάθησαι, κάθῃ, Ἀττ· κάθηται,) ἐκαθήμην· μ· Μ· καθήσομαι· Προς· κάθησο, καὶ κάθου, καθήσθω· Ἀπαρ· καθῆσθαι, Μετοχ· καθήμενος

Καθαίρω· Α· ἐκάθηρα· μ· Α· ἐκαθηράμην, κεκάθαρμαι, ἐκαθάρθην, καθαρθήσομαι·

Καίω· Μ· καύσω, καίομαι, καύσομαι, κέκαυμαι· (ἀπὸ καύω·) β· Α· ἐκάην· καήσομαι·

Καλέω, λῶ· Μ· καλέσω· Π· κέκληκα, ἀπὸ κλέω·

Καλοῦμαι· μ· Μ· καλέσομαι· Π· κέκλημαι· Α· ἐκλήθην· κληθήσομαι, καὶ κεκλέσμαι, ἐκαλέσθην, καλεσθήσομαι·

Κάμνω· Μ· καμῶ· Π· κέκμηκα· Α· β· ἔκαμον·

Κατέαγα· β· Π· Α· κατέαξα· β· κατεάγην·

Κατηγορῶ, ρήσω· Π· κατηγόρηκα· Α· κατηγόρησα·

Κεῖμαι, κεῖσαι, κεῖται μ· Μ· κείσομαι (ἐκ τοῦ κέεμαι· κρ· κεῖμαι·) Προς· κεῖσο, κείσθω· Εὐκτ· κεοίμην, κέοιο, κέοιτο· Ὑπ· ἐὰν κέωμαι, κέῃ, κέηται· Ἀπαρ· κεῖσθαι, κείμενος·

Κείρω· Μ κερῶ· Α· ἔκειρα· καὶ κείρομαι, κεροῦμαι, κέκαρμαι· β· Α· ἐκάρην, καρήσομαι·

Κεραννύω, κεράννυμι· Μ· κεράσω· Α· ἐκεράσθην, σθήσομαι· (ἀπὸ κεράω, ῶ·)

Κράομαι, κρῶμαι· μ· Μ· κράσομαι· Π· κέκραμαι· Α· ἐκράσθην, σθήσομαι·

Κερδαίνω· Μ· κερδανῶ, κερδήσω· Α· ἐκέρδανα· καὶ ἐκέρδησα· Π· κεκέρδηκα·

Κλαίω, καὶ κλάω· Μ· κλαύσω, καὶ κλαύσομαι, καὶ κλαυσοῦμαι· Α· ἔκλαυσα, (ἀπὸ κλαύω·)

Κορεννύω, καὶ κορέννυμι· Μ· κορέσω· (ἀπὸ κορέω·)

Κορέννυμαι· μ· Μ· κορέσομαι· Π· κεκόρεσμαι· Α· ἐκορέσθην·

Κράζω· Μ· κράξω· Α· ἔκραξα, καὶ ἐκέκραξα· β· Π· κέκραγα· μετ ὀλ· κεκράξομαι·

Κρεμάω, μῶ· Μ· κρεμάσω, καὶ κρεμάννυμι·

Κρέμαμαι, ἐκρεμάμην·

Κτείνω, καὶ κτεννύω· Μ· κτενῶ· Α· ἔκτεινα· β· Π· ἔκτονα· β· Α· ἔκτανον· Ἀπαρ· ἀποκτεινῦναι· μετ' ὀλ· ἀποκτεννύς· (ἀπὸ κτείνυμι ἀχρ·)

Κυλίομαι, κυλίνδομαι, κυλινδοῦμαι, καλυνδοῦμαι· Μ· κυλινδήσω· Π· κεκύλισμαι·

Κύω, ἔκυον· Μ· κυήσω, ἐκύησα, κεκύηκα·

Κιχράω, ρῶ, ἐκίχρεον· καὶ πλέον οὗ·

Καταθαρθάνω· β· Α· κατέθαρθον· Μ· καταθαρθήσομαι·

Ἀρχὴ Τοῦ Λ.

Λαγχάνω. Μ. λήξω. Π. λεληχα, εἴληχα Ἀττ. β. Α. ἔλαχον. (ἀπὸ λήχω.

Λαμβάνω. μ. Μ. λήψομαι. Π. λελῆφα. εἴληφα Ἀττ. β. Α. ἔλαβον ἀπὸ λήβω.

Λανθάνω. Μ. λήσω. β. Π. λελῆθα. β. Α. ἔλαθον, ἀπὸ λήθω.

Λαμβάνομαι. μ. Μ. λήψομαι. Π. λελῆμμαι, εἴλημμαι. Α. ἐλήφθην, θήσομαι. μ. Α. β. ἐλαβόμην.

Λανθάνομαι. μ. Μ. λήσομαι, λελῆσμαι, ἐλήσθην. μ. Α. β. ἐλαθόμην.

Λέγω. Μ. λέξω. β. Π. λέλογα.

Λέγομαι. μ. Μ. λέξομαι. Π. λελεγμαι, εἴλεγμαι, ἐλέχθην. β. ἐλέγην, καὶ λεγήσομαι (μετὰ προθ)

Λείπω, καὶ λιμπάνω. Μ. λείψω. β. Π. λέλοιπα. Α. β. ἔλιπον.

Λείπομαι. μ. Μ. λείψομαι. Π. λέλειμμαι, εἴλημμαι. Α. ἐλείφθην. μ. Α. β. ἐλιπόμην.

Λούομαι, καὶ λοῦμαι, λούῃ, λούεται. μ. Μ. λούσομαι. Π. λέλουσμαι, ἐλούσθην, σθήσομαι.

Λυμαίνομαι. μ. Μ. λυμανοῦμαι. μ. Α. ἐλυμηνάμην.

Ἀρχὴ Τοῦ Μ.

Μαίνομαι. μ. Μ. μανοῦμαι. β. Π. μέμηνα. β. Α. ἐμάνην.

Μανθάνω. μ. Μ. μαθήσομαι. Π. μεμάθηκα (ἀπὸ μαθέω) β. Α. ἔμαθον (ἀπὸ μήθω)

Μάχομαι. μ. Μ. μαχήσομαι, καὶ μαχοῦμαι (ἀπὸ μαχέομαι) μ. Α. ἐμαχησάμην, καὶ ἐμαχεσάμην. Π. μεμάχημαι, καὶ μεμάχεσμαι.

Μεθύσκω καὶ μεθύω. Μ. μεθύσω.

Μεθύσκομαι. μ. Μ. μεθύσομαι. Α. ἐμεθύσθην. Μ. μεθυσθήσομαι.

Μέλλω, ἔμελλον, καὶ ἤμελλον. Μ. μελλήσω (ἀπὸ τοῦ μελλέω) καὶ μέλω, μελήσω.

Μένω.

Μένω. μενῶ. Α. ἔμεινα. Π. μεμένηκα.

Μιγνύω, μίγνυμι, καὶ μίγω, καὶ μίσγω. Μ. μίξω. Α. ἔμιξα. β. Π. μέμιγα.

Μίγνυμαι. μ. Μ. μίξομαι. Π. μέμιγμαι. Α. ἐμίχθην. καὶ β. ἐμίγην

Μιμνήσκω. Μ. μνήσω. Π. μέμνηκα, (ἀπὸ μνάω)

Μιμνήσκομαι. μ. Μ. μνήσομαι. μετ' ὀλ. Μ. μεμνήσομαι. Π. μέμνημαι (ἀντὶ Ἐνεστῶτος) ἐμνήσθην.

Μοργνύω, καὶ μόργνυμι. Μ. μόρξω. Α. ἔμορξα. β. Π. μέμοργα. (ἀπὸ μόργω)

Μαιμάω. Μ. μαιμάσω.

Ἀρχὴ Τοῦ Ν.

Νέμω. Μ. νεμῶ, ἔνειμα, νενέμηκα.

Νέω (τὸ κολυμβῶ) νέεις, νεῖς, νεῖ. Μ. νήσω, καὶ νήξω. Π. νένηκα. β. νένηθα, ἀπὸ νήθω, τὸ κλώθω.

Ἀρχὴ Τοῦ Ξ.

Ξαίνω. Μ. ξανῶ, ξαίνομαι, ἐξάνθην.

Ξέω, καὶ ξύω. Μ. ξέσω, ξύσω, ἔξεσα. ἔξυσα.

Ἀρχὴ Τοῦ Ο.

Ὄζω. Μ. ὀζήσω, καὶ ὀζέσω. Α. ὄζεσα, (ἀπὸ ὀζέω) β. Π. ὦδα, καὶ ὄδωδα Ἀττ. (ἀπὸ ὄδω)

Οἶδα (β. Π. ἐκ τοῦ εἴδω) οἶδας, οἶδασθα, καὶ Συγκ. οἶσθα. Ἴωσερ. εἴδειν, καὶ ἤδειν Ἀττ. ἀντὶ Παρατ. μ. Μ. εἴσομαι, καὶ εἰδήσω (ἀπὸ εἰδέω)

Οἰδαίνω. Παρατ. οἴδαινον, καὶ ὤδαινον. Μ. οἰδήσω. Π. οἴδηκα, καὶ ὤδηκα, (ἀπὸ οἰδέω)

Οἰκτείρω, ὤκτειρον. Μ. οἰκτειρήσω. Α. οἰκτείρησα, καὶ ὤκτειρα. (Συγκ.-

(Συγκ. ἀπὸ οἰκτειρέω.)

Οἶμαι, καὶ οἶμαι, οἴει, οἴεται. Παρατ. ὠόμην, καὶ ᾤμην. μ. Μ. οἰήσομαι. Α. ὠήθην. Μ. θήσομαι.

Οἴχομαι, ᾠχόμην. μ. Μ. οἰχήσομαι. Π. ᾤχηκα, καὶ ᾤχημαι. (ἀπὸ οἰχέομαι)

Ὀλέω, ὀλῶ. Μ. ὀλέσω, καὶ ὀλῶ, ἐκ τοῦ ὄλω. Α. ὤλεσα. Π. ὤλεκα, ὀλώλεκα. β. Π. ὤλα, ὄλωλα.

Ὀλλύω, ὄλλυμι, καὶ ὀλλυμαι. μ. Μ. ὀλοῦμαι. Α. ὠλέσθην. Μ. ὀλεσθήσομαι.

Ὀμνύω, καὶ ὄμνυμι. Μ. ὀμόσω, καὶ ὀμοῦμαι. Π. ὤμοκα, ὀμώμοκα, ὤμοσμαι, ὀμώμοσμαι.

Ὀμοργνύω, καὶ ὀμόργνυμι. Μ. ὀμόρξω, (ἀπὸ ὀμόργω)

Ὄνημι, καὶ ὀνίνημι. Μ. ὀνήσω. Α. ὤνησα, καὶ ὠνάμην. Συγκ. τοῦ ὠνησάμην. Εὐκτ. ἀναίμην, ὄναιο, ὄναιτο. Ἀπαρ. ὄνασθαι, ἀπόνασθαι.

Ὀλισθαίνω. Μ. ὀλισθήσω. Π. ὠλίσθηκα, (ἀπὸ ὀλισθέω) β. Α. ὤλισθον, ἀπὸ ὀλισθῶ.

Ὀπτομαι, καὶ ὀπτάνομαι. μ. Μ. ὄψομαι, ὄψει, ὄψεται. β. Π. ὤπωπα. Π. ὦμμαι, ὦψαι, ὦπται. Α. ὤφθην. Μ. ὀφθήσομαι.

Ὀρῶμαι. Π. ὥραμαι, καὶ ἑώραμαι. Λ. ὡράθην. Μ. ὀραθήσομαι.

Ὀρμάω, μῶ, (τὸ ἐν λειμένι εἰμὶ) ὁρμίζω δὲ τὸν ἄλλον.

Ὀσφραίνομαι. μ. Μ. ὀσφρανοῦμαι, καὶ ὀσφρήσομαι. Α. ὠσφράνθην. Μ. θήσομαι.

Ὀφείλω, ὄφλω, καὶ ὀφλισκάνω. Μ. ὀφλήσω, καὶ ὀφειλήσω. Α. ὤφλεκα (ἀπὸ ὀφλέω)

Οἰμόζω, ὤμοζον. Μ. οἰμόξω. Α. ὤμοξα.

Ἀρχὴ Τοῦ Π.

Πάσχω. μ. Μ. πείσομαι, (ἀπὸ πήθω, καὶ βοιωτ. πείθω.) β. Α. ἔπαθον. β. Π. πέπονθα.

Πείρω, καὶ πείρομαι. Π. πέπαρμαι. β. Α. ἐπάρην, παρήσομαι. μ. Α. ἐπειράμην.

Πέρθω, καὶ περθομαι. β. Π. πέπορθα. β. Α. ἔπαρθον. Μ. παρθήσομαι.

Πέλω, ἔπελες, ἔπλες, ἔπελε, ἔπλε, (Συγκ.)

Πέμπω. Μ. πέμψω, ἔπεμψα. β. Π. πέπομφα.

Πένομαι, ἐπενόμην, καὶ πλέον οὗ.

Πετανύω, καὶ πετάννυμι. Μ. πετάσω (ἀπὸ πεταῶ)

Πετανύομαι, καὶ πετάννυμαι. μ. Μ. πετάσομαι, ἐπετασάμην, πεπέτασμαι. (ἀπὸ πετάζομαι) καὶ πέπταμαι (ἀπὸ πτάω, πτῶ) ἐπετάσθην, σθήσομαι.

Πήγω, πηγύω, πήγνυμι. Μ. πήξω. β. Π. πέπηγα.

Πηγνύομαι, καὶ πήγνυμαι. μ. Μ. πήξομαι, ἐπηξάμην, ἐπήχθην, καὶ ἐπάγην.

Πιμπλάω, καὶ πίμπλημι, ἐμπιπλῶ, καὶ ἐμπίπλημι. Μ. πλήσω (ἀπὸ πλήθω)

Πίμπλαμαι, ἐμπίπλαμαι, ἐνεπιμπλάμην. μ. Μ. πλήσομαι, πέπλησμαι, ἐπλήσθην.

Πιμπράω, πίμπρημι, ἐμπιπρῶ, ἐμπίπρημι. Μ. πρήσω, (ἀπὸ πρήθω)

Πίμπραμαι, ἐμπίπραμαι, ἐνεπιμπράμην. μ. Μ. πρήσομαι. μ. Α. ἐνεπρησάμην. Π. Πέπρησμαι, ἐμπέπρησμαι. Α. ἐνεπρήσθην, ἐμπρησθήσομαι.

Πίνω. Μ. πίνομαι. β. Α. ἔπιον. Π. πέποκα, (ἀπὸ τοῦ ποέω, πῶ) πέπομαι. Α. ἐπόθην. Μ. ποθήσομαι.

Πιπράσκω. Μ. πράσω. Π. πέπρακα.

Πιπράσκομαι. μ. Μ. πράσομαι. Π. πέπραμαι. Α. ἐπράθην. Μ. πραθήσομαι.

Πίπτω. Μ. πέσω, ἀπὸ πέτω. β. Α. ἔπεσον. β. Μ. πεσοῦμαι. Π. πέπτωκα, ἀπὸ πτόω, πτῶ.

Πλάττω. Μ. πλάσω. Α. ἔπλασα.

Πλέω, πλέεις, εἷς, πλέει, εἶ. οὕτω καὶ πνέω, ῥέω, χέω, καὶ τὰ ὅμοια. Μ. πλεύσω. Α. ἔπλευσα. Π. πέπλευκα. Εὐκτ. πλέοιμι, πλέοις πλέοι, καὶ εἰὰν πλέω, πλέῃς, πλέῃ, Ἀπαρ. πλέειν, εἶν. Μετ. πλέων.

Πλήτ-

Πλήττω, καὶ σσω· Μ. πλήξω· β· Π. πέπληγα· β. Α. ἔπληγον, ἔπλαγον

Πλήττομαι· μ. Μ. πλήξομαι· β· Α. ἐπλήγην, καὶ ἐπλάγην.

Πράττω· Μ. πράξω· Π. πέπραχα· β· Π. πέπραγα.

Πριάομαι, ὦμαι, καὶ πρίαμαι· Π. ἐπριάμην, (ἀντὶ ἀορ·) Ὑποτ ἐὰν πρίωμαι· ἀπαρ· πρίασθαι, ὁ πριάμενος·

Προσκυνῶ, προσκύνουν· Μ. προσκυνήσω, προσεκύνησα·

Πτέρνυμι, καὶ πτάρνυμι· Μ· πτερῶ· β· Α· ἔπταρον·

Πυνθάνομαι, πεύσομαι ἀπὸ πεύθω· μ. Α. β· ἐπυθόμην· Π. πέπεισμαι·

Ἀρχὴ Τοῦ Ρ·

Ραίνω· Μ· ῥανῶ· Α· ἔῤῥανα·

Ῥαίω· Μ· ῥεύσω· Α· ἔῤῥευσα· Π· ἐῤῥύηκα· ἀπὸ ῥυέω, ῥυῶ· Α· β· ἐῤῥύην· Μ· ῥυήσομαι· Ἀπαρ· ῥυῆναι· Μετοχ· ὁ ῥυείς·

Ῥήσσω, ῥηγνύω, καὶ ῥήγνυμι· Μ· ῥήξω· β· Π· ἔῤῥηγα, καὶ Ἰωνικ· ἔῤῥωγα· Μετοχ· ὁ ἐῤῥωγὼς, καὶ διερῥωγώς·

Ῥήγνυμαι· μ. Μ· ῥήξομαι· Π· ἔῤῥηγμαι· β· Α· ἐῤῥάγην· β· Μ· ῥαγήσομαι· Ἀπαρ· ῥαγῆναι· Μετοχ· ῥαγείς·

Ῥοιζέω, ῶ· Μ· ῥοιζήσω, τὸ συρίζω· (ἐξ οὗ καὶ ῥοιζος·

Ῥοχθέω, ῶ· (ἐξ οὗ καὶ ῥόχθος ὁ ἦχος τῆς θαλάσσης) Μ· ῥοχθήσω· Π· ἐρόχθηκα· Α· ἐῤῥόχθησα·

Ῥώννύω, καὶ ῥώννυμι· Μ· ῥώσσω· Π· ἔῤῥωμαι, ἔῤῥωσαι, ἔῤῥωται· ἐξ οὗ Προς· ἔῤῥωσο· Α· ἐῤῥώσθην· Μ· ῥωσθήσομαι· ἀπ· ἐῤῥῶσθαι· Μετ· ἐῤῥωμένος, ἀπὸ τοῦ ῥώζω·

Ῥέμβω· Μ· ῥέμψω, (τὸ περιτριγυρίζω) καὶ ῥέμβομαι, (τὸ περιπλανῶμαι·) μ· Μ· ῥέμψομαι·

Ῥέπω· Μ· ῥέψω, (τὸ κλίνω) Α· ἔρεψα·

Ρύομαι· μ· Μ· ῥύσομαι, ἐῤῥυσάμην, ἐῤῥύσθην, Μ· ῥυσθήσομαι·

Ἀρχὴ Τοῦ Σ·

Σβέω, σβεννύω, σβέννυμι· Μ· σβέσω· Α· ἔσβεσα, β· Α· ἔσβυν, ἀπὸ

πὸ σβῦμι· μ· Μ· σβέσομαι· Α· ἐσβέσθην· Μ· σβεσθήσομαι·

Σαίνω, ἔσαινον, καὶ πλέον οὖ·

Στένω, καὶ στενάζω· Μ· στενάξω Α· ἐστέναξα·

Σκεδαννύω, καὶ σκεδάννυμι· Μ· σκεδάσω· Α· ἐσκέδασα, (ἀπὸ σκεδάζω·)

Σπένδω, καὶ σπένδομαι· Μ· σπείσω· Α· ἔσπεισα· β· Π· ἔσπονδα· ἐξ οὗ σπονδή·

Σπένδομαι· Μ· σπείσομαι· μ· Α· ἐσπεισάμην· Π· ἔσπεισμαι, (ὅθεν καὶ τὰ ἐσπεισμένα·) Α· ἐσπείσθην·

Στορεννύω, στορέννυμι· Μ· στορέσω· Α· ἐστόρεσα· Π· ἐστόρεσμαι, ἐστορέσθην, (ἀπὸ τοῦ στορέω, στορῶ·)

Στρωννύω, καὶ στρώννυμι· Μ· στρώσω· Α· ἔστρωσα· (ἀπὸ στρόω, ῶ) Π· ἔστρωμαι, ἐστρώθην·

Σήπω, καὶ σήπομαι· μ· Μ· σήψομαι· β· Π· σέσηπα· β· Α· ἐσάπην·

Σχέω, σχῶ, καὶ σχέθω· Παρατ· ἔσχεον, ἔσχον· Μ· σχήσω, καὶ σχέσω· Π· ἔσχηκα, ἔσχημαι, καὶ ἔσχεμαι, ἔσχεσαι, ἔσχεται·

Σφάζω· καὶ σφάζομαι· β· Α· ἐσφάγην, καὶ σφαγήσομαι·

Σαίρω· Μ· σαρῶ· (τὸ σκουπίζω·)

Σελαγέω, ῶ· Μ· σελαγήσω, (τὸ ἀπαυγάζω) Α· ἐσελάγησαν·

Σεύω, Μ· σεύσω, (τὸ σαλεύω) Π· σεσάλευκα· Α· ἐσάλευσα·

Σεύομαι· Μ· σεύσομαι· Π· σέσευμαι, καὶ σέσυμαι· Α· ἐσεύθην, καὶ ἐσύθην, ἢ ἐσσύθην· Μετοχ· ἐσσυμένος· (Ὅμηρος·)

Σήθω· Μ· σήσω, (τὸ κοσκινίζω,) Α· ἔσησα·

Ἀρχὴ Τοῦ Τ·

Τέθηπα· β· Π· ἐτεθείπειν, ἐκ τοῦ θήπω·

Τέμνω, τεμνῶ· β· ἔτεμον, καὶ ἔταμον, (κατὰ τροπὴν,) Π· τέτμηκα, ἀπὸ τμέω, ῶ·

Τεύχω, τὸ κατασκευάζω· παθ· Π· τέτυγμαι·

Τήκω· Μ· τήξω· Α· ἔτηξα·

Τήκο-

Τήκομαι· μ. Μ· τήξομαι. β. Α. ἐτάκην, καὶ τακήσομαι.
Τίκτω. Μ. τέξω. β. Α. ἔτεκον. β. Π. τέτοκα, (ἐκ τοῦ τέκω)
Τίκτομαι. μ. Μ. τέξομαι. β. Δ. ἐτέχθην. Μ. τεχθήσομαι.
Τιτραίνω, καὶ τιτρέω, τιτρῶ· Μ· τρήσω· Α. ἔτρησα· Π. τέτρηκα.
Τιτραίνομαι, καὶ τιτράωμαι, ὅθεν τιτρᾶται· μ. Μ. τρήσομαι· Π. τέτρημαι, ἐτρήθην.
Τιτρώσκω· Μ· τρώσω· Α. ἔτρωσα· Π· τέτρωκα· ἐκ τοῦ τρόω, τρῶ.
Τίνω, τινύω, καὶ τίννυμι· Μ. τίσω. Α· ἔτισα.
Τλάω, τλῶ· Μ. ἀντλήσω· β. Α. ἔτλην, ἀπὸ τοῦ τλῆμι.
Τρέφω· Μ. θρέψω· Α· ἔθρεψα. Π. τέθρεφα.
Τρέφομαι. Μ. θρέψομαι, ἐθρεψάμην. Π· τέθραμμαι. β. Α. ἐτράφην. Μ. τραφήσομαι.
Τρέχω, τρέξω, ἔτρεξα· ἀντ' αὐτοῦ τὸ δραμοῦμαι, ἔδραμον, ἀπὸ τοῦ δρέμω. α. Π· δεδράμηκα, καὶ δέδρομα· δ· Π· (ἐξ οὗ δρόμος)
Τρώγω· Μ· φαγοῦμαι· β· Α. ἔφαγον·
Τυγχάνω· μ. Μ· τεύξομαι ἀπὸ τοῦ τεύχω· Π. τέτευχα, καὶ τετύχηκα, ἀπὸ τοῦ τυχέω, τυχῶ· β· Α. ἔτυχον.

Ἀρχὴ Τοῦ Υ.

Ὑπισχνοῦμαι· μ. Μ· ὑποσχήσομαι· μ. Α· β. ὑπεσχόμην· Π. ὑπέσχημαι· Λ. ὑπεσχέθην·
Ὑπνώττω, ὑπνώσω, (ἀπὸ ὑπνόω, ὑπνῶ· Λ. ὕπνωσα·)
Ὑεῖ· ὕσει· Λ. ὗσεν.

Ἀρχὴ Τοῦ Φ.

Φάσκω· Μ· φήσω, ἀπὸ τοῦ φάω, ῶ· Α· ἔφησα.
Φέρω· Μ· οἴσω, ἀπὸ τοῦ οἴω. Π· ἤνοχα, ἐνήνοχα, ἀπὸ τοῦ ἐνέγκω Α· ἤνεγκα· καὶ β· ἤνεγκον.
Φέρομαι· Μ· οἴσομαι· μ· Λ· β· ἠνεγκάμην· Π· ἤνεγμαι, ἐνήνεγμαι· Λ· ἠνέχθην· Μ· ἐνεχθήσομαι· καὶ οἰσθήσομαι· Ἀπαρ·

ἀπαρ· ἐνεχθῆναι, καὶ οἰσθῆναι·
Φεύγω· μ· Μ· φεύξομαι· β· Π· πέφευγα· β· Α· ἔφυγον·
Φημί, φῄς, φησί, φαμέν, φατέ, φασί, καὶ φατόν, φατόν· Μ· φήσω· Α· ἔφην· Προσ· ἐν· φᾶθι, φάτω· β· Α· φῆθι, φήτω· Εὐκτ· φαίην, ης, η· Ὑποτ· ἐὰν φῶ, φῇς, φῇ· Ἀπαρ· φᾶναι· Μ· φήσειν· Α· φῆσαι· Μετ· φάς· Μ· φήσων· Α· φήσας.
Φθάνω· Μ· φθάσω· ἀπὸ τοῦ φθάω, φθῶ· Α· ἔφθασα· β· Α· ἔφθην Μετ· φθάς·
Φθείρω, φθερῶ· Α· ἔφθειρα· Π· ἔφθαρκα· καὶ β· Π· ἔφθορα, ἐξ οὗ φθορά·
Φθίνω· Μ· φθίσω· Λ· ἔφθισα·
Φρίττω· Μ· φρίξω· Α· ἔφριξα· β· Π· πέφρικα· (ἐξηρημένον)
Φύω· Μ· φύσω· Α· ἔφυσα· καὶ β· ἔφυν, ἀπὸ φῦμι· Π· πέφυκα·
Φύομαι· μ· Μ· φύσομαι· β· Δ· ἐφύην· Μ· φυήσομαι· Λ· φῦναι· ἀντὶ φυῆναι.

Ἀρχὴ Τοῦ Χ.

Χαίνω, καὶ χάσκω· Μ· χανῶ· β· Α· ἔχανα· β· Π· κέχηνα·
Χαίρω· Μ· χαιρήσω, καὶ χαρήσομαι, ἀπὸ χαρέω· Π· κεχάρηκα· καὶ κεχάρημαι· Λ· ἐχάρην·
Χαλεπαίνω, χαλεπανῶ· Λ· ἐχαλέπηνα·
Χέω, ὡς τὸ ῥέω· Μ· χεύσω, καὶ χύσω· Π· κέχυκα· Α· ἔχεα· Προσχέον· καὶ ἔκχεον· Ἀπαρ· χέαι, καὶ συγχέαι.
Χέομαι, χεύσομαι (ἄχρ·) μ· Μ· χύσομαι· Π· κέχυμαι· Α· ἐχύθην· Μ· χυθήσομαι·
Χράομαι, χρῶμαι, χράῃ, χρῇ, χράεται, χρῆται· καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως· τὸ α· εἰς η· μ· Μ· χρήσομαι, ἐχρησάμην· Π· κέχρημαι, ἐκεχρήμην·
Χρὴ (ἀπρόσ·)
Χρωννύω, καὶ χρώννυμαι, καὶ χρώννυμι· Μ· χρώσω· Α· ἔχρωσα· Π· κέχρωκα, κεχρωσμαι· Α· ἐχρώσθην·

Κων-

Χωννύω, καὶ χώνυμι· Μ· χώσω, καὶ χώσομαι· Π· κέχωσμαι· Α· ἐχώσθην.

Χάσκω· καὶ πλέον οὔ.

Ἀρχὴ Τοῦ Ψ·

Ψάλλω, ψαλῶ, ἔψαλκα.

Ἀρχὴ Τοῦ Ω·

Ὤθω, καὶ ὠθέω, ὠθῶ· Μ· ὤσω, καὶ ὠθήσω· Α· ὦσα, καὶ ἔωσα· Ἀττ· καὶ ὤθησα.

Ὤθομαι, καὶ θοῦμαι· μ· Μ· ὤσομαι, καὶ ὠθήσομαι· Π· ὦσμαι· καὶ ἔωσμαι· Α· ὤσθην, καὶ εώσθην· Μ· ὠσθήσομαι· μ· Α· ὠσάμην, καὶ ἐωσάμην·

Ὤνέομαι, ὠνούμην· Μ· ὠνήσομαι· Π· ὤνημαι, καὶ ἐώνημαι·

Σελ· 72· ἐν σχολ· καὶ τοὺς ἑτέρους· ἀνάγνωθι οὕτω· καὶ τοὺς ἑτέρους, θἄτερον, καὶ θατέρους· Θηλ· ἡ ἑτέρα, ἀτέρα (καὶ Δωρικῶς θατέρα) οὐδέτ· θάτερον·

ΤΕΛΟΣ·

ΠΙΝΑΞ

Τῶν Περιεχομένων ἐν τῇ Νέᾳ Ὁδηγῷ·

Μέρος Πρῶτον·

		Φύλ·
1·	Περὶ διαιρέσεως τῶν γραμμάτων·	1·
2·	Περὶ Συλλαβῶν·	1·
3·	Περὶ Τόνων·	2·
4·	Περὶ Λόγων·	2·
5·	Περὶ Μερῶν τοῦ Λόγου·	2·
6·	Περὶ Ὀνόματος·	2·
7·	Περὶ Ἄρθρων·	3·
8·	Περὶ Ὀρθογραφίας Ἄρθρου καὶ περὶ Δασυνομένων·	4·
9·	Περὶ Κλίσεων·	5·
10·	Περὶ τῆς α΄· Κλίσεως·	6·
11·	Περὶ Ὀρθογραφίας τῆς Παραληγούσης τῆς α΄· Κλίσεως·	6·
12·	Περὶ τῆς β΄· Κλίσεως·	8·
13·	Περὶ Ὀρθογραφίας τῆς Παραληγούσης τῆς β΄· Κλίσεως·	8·
14·	Περὶ τῆς γ΄· Κλίσεως·	10·
15·	Περὶ Ὀρθογραφίας τῆς Παραληγούσης τῆς γ΄· Κλίσεως·	10·
16·	Περὶ τῆς δ΄· Κλίσεως·	14·
18·	Περὶ Ὀρθογραφίας τῆς Ληγούσης τῆς δ΄· Κλίσεως·	14·
19·	Περὶ Ὀρθογραφίας τῆς Παραληγούσης τῆς δ΄· Κλίσεως·	15·
20·	Περὶ τῶν εἰς Ων· ποῖα φυλάττουσι τὸ ω· ἐν ταῖς Πλαγ·	16·
21·	Περὶ διαφόρων καταλήξεων τῆς Ονομαστικῆς τῆς δ΄· Κλίσεως·	17·
22·	Τύποι Θηλυκῶν·	19·
23·	Τύποι Οὐδετέρων·	21·
24·	Περὶ τόνων Ὀνομάτων·	21·
25·	Περὶ συνηρημένων Ὀνομάτων·	22·

26· Περὶ συνημμένων τῆς ά· καὶ β΄· Κλίσεως· Φύλ· 25·
27· Περὶ Ἀνωμάλων Ὀνομάτων· 25·
28· Περὶ Ἀνωμάλων κατ' ἀριθμὸν καὶ γένος· 27·
29· Περὶ Ὀρθογραφίας Παραλλ· Ὀνομάτων τινῶν· 28·
30· Περὶ Ῥήματος· 30·
31· Περὶ Χρόνων· 31·
32· Περὶ Ἐγκλίσεων καὶ Σχημάτων· 31·
33· Περὶ σχηματισμοῦ Βαρυτόνων Μελλόντων καὶ Παρακειμένων· 32·
34· Περὶ τοῦ ά· Τύπου τῶν Βαρυτόνων· 32·
35· Κανόνες καινοὶ τοῦ ά· καὶ β΄· τύπου· 36·
36· Περὶ τῶν ἀπὸ Διφθόγγων ἀρχομένων· 36·
37· Περὶ τῶν ἀπὸ Συμφώνων ἀρχομένων· 37·
38· Περὶ συνθέτων Ῥημάτων· 37·
39· Κανόνες ἴδιοι τοῦ ά· Τύπου· 38·
40· Περὶ Παραλληγούσης Μέλλοντος· 38·
41· Περὶ Παρακειμένου· 39·
42· Περὶ Ἀορίστου· 39·
43· Περὶ Ὑπερσυντελικοῦ· 39·
44· Περὶ τοῦ β΄· Τύπου τῶν Βαρυτόνων· 40·
45· Κανόνες ἴδιοι τοῦ σχηματισμοῦ τοῦ β΄· Τύπου· 45·
46· Περὶ Παρακειμένου τοῦ β΄· Τύπου· 45·
47· Περὶ Ἀορίστου· 46·
Περὶ Ὀρθογραφίας Παραλλ· τῶν Ῥημάτων· 54·
Περὶ Ἀντωνυμιῶν· 69·
Περὶ Προθέσεως· 73·
Περὶ Ἐπιῤῥήματος· 73·
Περὶ Ὀρθογραφίας Ἐπιῤῥήματος· 74·
Περὶ Συνδέσμου· 76·
Περὶ Παραγωγῆς· 77·
Περὶ Ἐτυμολογίας· 81·
Περὶ Πατρωνυμικῶν· 89·
Περὶ Κτητικῶν· 8[illegible]

Περὶ Ὑποκοριστικῶν· Φύλ· 82·
Περὶ συγκριτικῶν· 83·
Περὶ Ὑπερθετικῶν· 83·
Περὶ Παρωνύμων· 84·
Περὶ Ῥηματικῶν· 85·
Περὶ Συνθέσεως· 85·
Περὶ Προσῳδίας· 90·
Περὶ Χρόνου τῆς Λήγούσης τῶν Ἰσοσυλλάβων· 92·
Περὶ Χρόνου τῆς Παραληγούσης τῶν Ἰσοσυλλάβων· 93·
Περὶ Χρόνου Λήγούσης καὶ Παραληγούσης Περιττοσυλ· ἐν ταῖς πλαγίαις Πτώσεσι· 93·
Περὶ Χρόνου Παραληγούσης Ῥημάτων· 95·
Περὶ Χρόνου Λήγούσης τῶν πλαγίων πτώσεων· 96·
Περὶ Πνευμάτων· 97·
Περὶ Παθῶν· Διπλασιασμός· 97·
Συναλοιφὴ, Κρᾶσις, Συναίρεσις· 99·
Διάλυσις· 100·
Περὶ Ἐγκλινομένων· 100·
Περὶ Στίξεως· 102·
Περὶ ἐφελκυσμοῦ· 103·
Περὶ β· Παρακειμένου καὶ β΄· Ἀορίστου· 103·
Περὶ Παραληγούσης τοῦ β΄· Παρακειμένου· 104·
Περὶ τῆς Παραληγούσης τοῦ β· Ἀορίστου· 105·
Περὶ Ἀττικῶν Παρακειμένων· 106·
Ἀνώμαλα Ῥήματα· 110·

